

# ΤΡΟΠΑΙΟΝ

Ἐκ τῆς Ἑλλαδικῆς πανοπλίας κατὰ τῶν ὀπαδῶν τοῦ Κοπερνίκου ἐν τρισὶ διαλόγοις,

Φιλοπονηθὲν παρὰ τοῦ Διδασκάλου τῶν Ἐπιστημῶν τῆς ἐν Κωνσταντινουπόλει Πατριαρχικῆς Σχολῆς

**ΣΕΡΓΙΟΥ ΜΑΚΡΑΙΟΥ,**

Ἐνεσίῃ μὲν Δεσποτικῇ

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΘΕΙΟΤΑΤΟΥ, ΣΟΦΩΤΑΤΟΥ ΤΕ ΚΑΙ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΤΗΣ ΑΓΙΑΣ ΠΟΛΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ ΚΑΙ ΠΑΣΗΣ ΠΑΛΑΙΣΤΙΝΗΣ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

## ΑΝΘΙΜΟΥ

Προτροπῇ δὲ καὶ φιλοτίμῳ δαπάνῃ

Τοῦ πανιερολογιωτάτου καὶ θεοπροβλήτου Μητροπολίτου ἁγίου ΒΗΘΛΕΕΜ Κυρίου Κυρίου

ΠΟΛΥΚΑΡΠΟΥ,

ἤδη τύποις ἐκδοθέν.

Βιέννῃ αψϟζ.

Ἐν τῇ τυπογραφίᾳ Ἀντωνίου Πίχλερ.

ΤΩ͂Ι ΜΑΚΑΡΙΩΤΑ΄ΤΩ ΣΟΦΩΤΑ΄ΤΩ ΚΑΙ͂
Α΄ΓΙΩΤΑ΄ΤΩ ΠΑΤΡΙΑ΄ΡΧΗ ΤΗ͂Σ Α΄ΓΙ΄ΑΣ
ΠΟΛΕΩΣ ῾ΙΕΡΟΥΣΑΛΗ΄Μ ΚΥΡΙ΄Ω ΚΥΡΙ΄Ω
Α΄ΝΘΙ΄ΜΩ ΤΗ΄Ν ΔΟΥΛΙΚΗ΄Ν ΚΑΙ΄ Ε΄ΔΑ-
ΦΙΑΙ΄ΑΝ ΜΕΤΑ΄ ΠΑ΄ΣΗΣ ΕΥ΄ΛΑΒΕΙ΄ΑΣ
ΠΡΟΣΚΥ΄ΝΗΣΙΝ.

Οὐ τόλμη τ᾽ἐμὸν τ8τὶ, ΜΑΚΑΡΙΩ΄ΤΑ-ΤΕ ΔΕ΄ΣΠΟΤΑ, ἐδὲ προπετείας ὑπῆρξεν ἐγχείρημα. ἐπέβλεψα γὰρ ἐπὶ τὰς παρεμβολὰς τῶν ἀλλοφύλων, καὶ ἀνὴρ ἐκ ἦν μετ᾽ αὐτῶν, ἐδ᾽ ὅπλα γενναίων· ἀλλὰ καὶ χεὶρ ἀσθενὴς, καὶ πὲς ὀλισθηρὸς, καὶ σχῆμα ἐξηλλαγμένον, καὶ φωνὴ ἐκ εὔσημος, καὶ γνώμη ἀγενὴς, καὶ τόλμη ἀλόγιςος, καὶ ὅλως ὑπότυφος μωρία, καὶ κενὸν θράσος, καὶ βακχεία ἄντικρυς κυβελικὴ, καὶ κρότοι ἐκπεπληγμένων. καὶ δολερὰ μὲν καὶ ἐπίβ8λα τὰ αὐτῶν μηχανήματα, ὡς παντοίαν πάντοθεν περιβεβλημένα καὶ ὑποκρύπτοντα τὴν ἀπώλει-

αν, εὔλυτα δ᾽ ἔμπης ἢ ὑπόκουφα. τῆς γοῦν τοσαύτης σφῶν ἀσελγείας ἢ ἀσυνταξίας καταγνοὺς, οὐ τῶν δυνατῶν τοῦ Δαβὶδ, οὐδὲ τῶν ἐν τρίσιν ἢ τριάκοντα ἠριθμημένων, ἐπεξελθεῖν κατ᾽ αὐτῶν ἐδικαίωσα. ἀλλὰ κἂν τῶν ἐλαχίστων τις, οἷος ἐγὼ, ἀπὸ τῆς Ὑμετέρας ἱερᾶς παρεμβολῆς κατ᾽ αὐτῶν ἐπέλθῃ, ταχέως διαῤῥήξειν ἡγησάμην αὐτῶν τὰς συστάσεις, ἢ καταδιώξειν ὀπίσω αὐτῶν, ἢ καταπατήσειν αὐτῶν τὰς παρεμβολὰς, ἢ τὰς μηχανὰς διακόψειν, ἢ περιαιρήσειν σύμπασαν αὐτῶν τὴν σκευὴν, ἢ εἰς τέλος κατατροπώσεσθαι. ἢ δὴ ἐκ τῆς ἑλλαδικῆς πανοπλίας, τοῦ ἐν ἡμῖν

ἐμ-

ἐμφύτε λόγε, δραξάμενος τῶν ὅπλων τὰ προχειρότερα, κατέδραμον ἐπ' αὐτὲς, ἀγεληδὸν φεύγοντας συνωθεμένες καταςρεψάμενος, ἐπὶ τὸ κρησφύγετον, τὸ δῆθεν μέγα ὀχυρὸν αὐτῶν σύςημα, τὸν πῦργον φημὶ τῆς χαλάνης συνελασθέντας, ἀθρόες κατέβαλον, ἐκ βάθρων αὐτὸν ἀνατρέψας, ἀναλώσας πυρὶ, ὡς μηδὲ τῷ λοιπῷ τολμᾷν τινα κατὰ τῆς ἀληθείας μαχόμενον, προσφεύγειν ὑπ' αὐτὸν κρύπτεσθαι. ἐπάνειμι ἐν ὡς ἀπὸ διακοπῆς τῶν ἀλλοφύλων, ἐπάνειμι δὴ ἐπὶ τὴν ἁγίαν πόλιν Ἱερεσαλὴμ, ἵνα τῆ μεγάλε ἀρχιερέως εὐλογίας τύχω· 

τὸ

τὸ μικρὸν τετὶ ἔργον ὑποτίθημι τῇ δικαιοτά-
τῃ βασάνῳ τȣ̃ μεγάλȣ προςάτȣ, ϗ ἀρχι-
ςρατήγȣ τῆς παρεμβολῆς κυρίȣ, τῶν ἁπαν-
ταχȣ̃ εὐσεβῶν, ϗ ὀρθοδόξων χριςιανῶν, τȣ̃
ϗ τὸν ζῆλον Ἠλιȣ̀ ἔχοντος, ϗ τὴν πνευματι-
κὴν ςρατηγίαν Ἰησȣ̃ ἀναλαβόντος, ϗ τὴν σο-
φίαν Σολομῶντος ζηλȣ̃ντος, τί λέγω; τȣ̃ κα-
τὰ Παῦλον εἰς ὕψος θεωριῶν ἐμβλέψαντος,
ϗ Πέτρȣ τὴν Θεολογίαν, ϗ Ἰωάννȣ τὴν μυ-
ςικὴν τῶν ἀποκαλύψεων γνῶσιν πλȣτησαν-
τος, τȣ̃ κατ᾽ ἴχνος ἐν πᾶσιν ἁμιλλωμένȣ ϗ
ζηλȣ̃ντος τὸν μέγαν ϗ πρῶτον Ἱεράρχην τῆς
ἁγίας πόλεως Ἱερȣσαλὴμ Ἰάκωβον τὸν ἀδελ-
φό-

φόθεον, τὸν πρώτισον ἁπάντων Ἱεραρχῶν μετὰ τὸν πρῶτον ἀρχιποίμενα, ϗ σωτῆρα Χρισὸν, ȣ μιμητὴς ϗ μύσης, ϗ ἐν τῇ τῶν ὀρθοδόξων ἐκκλησίᾳ μέγας μυσαγωγὸς ἐνθέως κατέση, ϗ λαμπρῶς διατελεῖ ἡ θεοδόξασος Σὴ Μακαριότης, τὸ κλέος τῶν εὐσεβῶν, ἡ δόξα τῆς ἐκκλησίας, ὁ βραβευτὴς τῶν ὀρθῶν δογμάτων τῆς διδασκαλίας, ὁ ἀλέπτης τῶν ἀγωνιζομένων, ἡ παραμυθία τῶν τεθλιμμένων, ἡ προμήθεια τῶν ἐν ἀνάγκαις, ἡ ἀντίληψις τῶν δεομένων ἐπικȣρίας πρὸς πᾶσαν πνευματικὴν πάλην, ὑποτίθημι φημὶ τῇ Ὑμετέρᾳ δικαιοτάτῃ βασάνῳ τȣτὶ τὸ ἐμὸν ἔργον, ἵνα

δο-

δοκιμάσῃ εἰ κατὰ νόμους τῶν ὁπλομάχων ἐξετέλεσα· οὐ γάρ με τέρπει τοσοῦτον εἰ τῶν ἀλλοφύλων κατεκράτησα, καὶ φροῦδα τούτων ἐποιησάμην τὰ ὀχυρώματα· εὔλυτα γὰρ ἐκεῖνα καὶ μόνοις αὐτοῖς ἐδόκει ὀχυρὰ τὰ ὑπόσαθρα; ὅσον εὐφραίνει, εἰ κατὰ νόμον μετῆλθον τὰ ὅπλα, καλῶς χρησάμενος. ἐντεῦθεν γὰρ καὶ ἐπὶ τοὺς ἄλλοθέν ποθεν ἐπιόντας, καὶ παρὰ τὰ τείχη τῆς ἁγίας πόλεως παραβάλλειν τολμήσαντας εὐθαρσῶς ἀντεπεξέλθοιμι, γενναίως αὐτοὺς ἀπελάσας· τίνι δὲ ἄλλῳ εἶχον ἂν προσενεγκεῖν, καὶ δικαιοῦσαν ψῆφον ἀποδέξασθαι; σὺ γὰρ ἡμῖν ΜΑΚΑΡΙΩ´ΤΑΤΕ

ΔΕ´·

ΔΕ´ΣΠΟΤΑ τῶν λόγων ἀκόνη, καὶ τούτων αὐτῶν ἀκριβὴς βάσανος· Σὺ τῶν ἐπιστημῶν ἁπασῶν ταμίας καὶ ἐγκρατὴς, καὶ τῶν ἐπιστημόνων ἔφορος καὶ προστάτης. Σὺ τῶν ὀρθῶν δογμάτων ἀκηλίδωτον ἔσοπτρον, καὶ τῶν ἀντιφωνούντων λόγων δικαστὴς ἀπαράτρεπτος· Σὺ τοῦ ὀρθοῦ λόγου ἡ στάθμη, καὶ τοῦ ἀντιπίπτοντος ἔλεγχος ἐναργέστατος· Σὺ τῶν ἀπὸ τοῦ ὀρθοῦ λόγου ὅπλων ἡ ἰσχυρὰ ὁπλοθήκη, καὶ τῆς κατὰ λόγον αὐτῶν χρήσεως ἄφθονος χορηγία. πρὸς Σὲ οὖν ἥκω δράσας τοὖργον, καὶ τὸν ἐμὸν τουτονὶ πόνον ὑποβαλλόμενος τῇ δικαίᾳ σου κρίσει, ἕστηκα ἐπὶ τὴν ψῆφον ἀποβλέπων, εἰ ἄρα

κα-

κατὰ νόμον ὁ ἀγὼν ἐξήνυςαι, ἐγεῖραι νίκης τὸ τρόπαιον· εἰς αἰσχύνην μὲν ἐκείνων, ὅτι ϗ ἐκ μικρῶν, οἷος ἐγὼ, καθηρέθη αὐτῶν τὰ ὀχυρὰ, ϗ συμπέπτωκεν ἐπ' αὐτοῖς τὰ ἐρυμνὰ, φροῦδα ϗ διάκενα αὐτὰ σὺν αὐτοῖς γενόμενα τὰ συςήματα. εἰς ἀνάληψιν δὲ κἀκείνων, εἴτις τὸν ἰὸν τῆς τοσαύτης κακοφροσύνης ἁπλαῖς ἀκοαῖς ὑποδεξάμενος, ϗ ναυτιάσας ὕςερον, ἐξεμέσαι ἔχ οἷος ἀφ' ἑαυτȣ̃ ἐγένετο, ἀλλ' ἅπαξ εἰς χάος ἐνιδὼν ϗ ἐνιλιγγιάσας, ςροβεῖται ἔτι ϗ ἀςατεῖ τὴν γνώμην, ἐδαμῆ ςάσιν εὑρών· εἰς τȣ̃το γὰρ ἐγκυβιςήσαντες οἱ παράφρονες, συγκατασπᾶν φι-

λȣ̃-

λῦσι τὲς αὐτοῖς προσέχοντας· εἰσὶ μέντοι οἳ ἐκ τῆς ἐκείνων κακοβελίας ἢ ἀναισχύντε ἀπονοίας παρολισθήσαντες, ἐρῶσι δεξιᾶς ἀντιλαμβανομένης, ἢ φωνῆς ἀνακαλέσης, ὡς μήπω εἰς μυχαίτατα ἀπωλείας ἐμπεσόντες. ὑπὲρ τῶν τοιέτων ἒν ἀγανακτήσας, ἢ τῶν ἄλλων φειδόμενος, θερμῶς τὸν ἀγῶνα ὑπῆλθον, ἢ ἐπὶ τῆς νίκης ὕψωσα τὴν φωνὴν, εἴπως ἐκ βόθρων ἀνελκύσω τὲς ἀπολλυμένες τῇ ἐκείνων ἀπάτῃ, ἢ περισώσω τὲς κινδυνεύοντας. εἴη μοι τοίνυν κατὰ σκοπὸν συντελὲς τὸ ἔργον, ἢ λευκῆς ὡς εἰπεῖν τύχοι περὶ πάντα τῆς ψήφε. εἰδὲ ἢ πλείονος εὐμενείας ἢ χάριτος

ὑπὸ

ὑπὸ τῆς περὶ ἕκαστα τῶν ὠφελίμων σπουδῆς Σοῦ τοῦ τοιούτου ἀγωνοθέτου καὶ χορηγοῦ εὐμοιρήσαι, δόξαν εὖ ἔχειν, μείζονος ἐν πλείοσιν ὠφελείας γένοιτ' ἂν πρόξενον, διὰ τῆς Ὑμετέρας δηλονότι θειοτάτης καὶ σοφωτάτης ΜΑΚΑΡΙΟΤΗΤΟΣ,

ἧς ὑποτελῶ

ἐλάχιστος δοῦλος
Σέργιος Μακραῖος.

# ΠΡΟΦΩΝΗΣΙΣ.

Ἀρχαῖον τῆς κακίας ὑφέρπειν καὶ παραδύεσθαι, καὶ τοσούτῳ μᾶλλον ὅσῳ χείρονα κατεπιχειρεῖ, καὶ ἐπιβουλεύει ὀλεθριώτερα, συγκρύπτουσα ἑαυτῆς τὴν μορφὴν, καὶ ποικίλως ῥᾳδιουργοῦσα. τῶν γοῦν τοσούτων δεινῶν ῥᾳδιουργημάτων, πολλῶν ἐν πολλοῖς φωραθέντων καὶ ἐν ἤθει διδασκαλίας, καὶ ἐν ἐκθέσει δῆθεν φυσικῶν θεωρημάτων, οὔτ᾽ ἂν χείρονα, οὔτ᾽ ἂν ὀλεθριώτερα γένοιτο, ὅσα ὁ κενόφρων πήγασος ἐν τῷ κακομηχάνῳ αὐτοῦ περὶ κόσμων πλήθυος συντάγματι, ἐπὶ πανδήμῳ λύμῃ νοσήσας ἐξήμεσε. τούτου γὰρ ὅσον ἡ τόλ-

μη

μη ϗ ἀναίδεια πᾶν θράσος παρήλασε, τοσοῦτον ἡ κακία ἐπὶ πάντας μετελθεῖν παντοίως κατεσπούδασεν· οὐδὲ γὰρ οὐδὲ δόλου ϗ μηχανῆς ἀπέστη κωμικῶς εἰσπηδήσας, τῆς κοινῆς δόξης κατορχούμενος· τῶν γὰρ αἰσθήσεων ὅλως ὀλιγωρήσας, ὡς δῆθεν περὶ τῶν πόῤῥω διαλεγόμενος, ἄρδην τὴν γνῶσιν ὑπούλως ἀφείλετο, ὡς μηδ᾽ ὑπολείπεσθαι κρίνειν κατὰ ἄνθρωπον, πολλοῦ γε ϗ δεῖ θεωρεῖν ϗ λογίζεσθαι, ϗ τῶν κρειττόνων ἐρᾶν ϗ τὰς ἐκεῖθεν ἐλλάμψεις ἐκδέχεσθαι, ἢ ἐνύπνια πλάττειν ϗ ταῦτα ὄντα πρεσβεύειν, ϗ προφανῶς παραπαίειν, ἀλλ᾽ ἀντ᾽ ἄλλων ληροῦντας, ἀλλήλοις ἀντιχοῦντα ϗ ἀντιπίπτοντα ϗ ὑπ᾽ ἀλλήλων ἀνατρεπόμενα· ἀλλὰ τοῦτο τί ἂν εἴη; ἢ του ἐν ἡμῖν λόγου παντελὴς καθαίρεσις, ϗ φρενῶν ἔκπτωσις, βακχεία ἄντικρυς, ϗ μανία δαιμονική, ὑφ᾽ ἧς ἑάλω παθὼν, ϗ τοὺς ἄλλους ταὐτὰ πάσχειν ἤρξατο. ποῦ οὖν ἐπιστήμη; ποῦ σύνεσις; ποῦ φρόνησις; ποῦ βίος ὀρθός; ποῦ νόμοι ϗ τάξις; μήτε ἀρχῆς παρούσης, ὑφ᾽ ἧς, μήτε τέλους πρὸς ὃ ἕκαστα διϊθύνεται. τὸ γὰρ ἤτοι κατα-

κερ-

κερματίζειν τὸ μέγα τοῦτο σύστημα, ϗ διϊστᾶν ἀπ' ἀλλήλων τὰ μέρη, συγχέειν ἐστὶ ϗ αὐτοματίζειν ἅπαντα, ϗ τὸν ἄνθρωπον παρ' οὐδὲν ποιεῖν· πληθύνει γὰρ πανούργως τοὺς κόσμους, ὅτι τὸν ἄνθρωπον τοῦ αἰσθητοῦ τοῦδε κόσμου παντὸς οὐκ ἐθέλει πολίτην, οὐδὲ τέλος ᾧ ἐφορᾷ πάντα τὰ φαινόμενα. ϗ τοσαύτης ἄρα προνοίας ϗ τιμῆς, ὅσης ὑπὸ τοῦ αὐτοόντος ϗ μόνου ἀγαθοῦ ἠξίωται φθονῶν, μαίνεται, ϗ συγκυκᾷ τόγε ἐπ' αὐτὸν τὰ πάντα, ϗ μανικῶς διασπᾷ τὰ ἡνωμένα, ϗ ὑφ' ἑνὸς εἰς ἓν ὄντα, ἵνα ὑποσκελίσῃ ϗ περιτρέψῃ πεσόντα τὸν φθονούμενον. τίνα οὖν ἀδικίας ὅρον κατόπιν ταῦτα οὐκ ἀπολείπει; ἆρα ἀνθρωπίνης τόλμης ταῦτα ληρήματα; ἆρ' οὐ μανίας τοῦ ἀρχεκάκου ϗ πονηροῦ δαίμονος; οὐ γὰρ τοιαῦτα ληρήσειεν, οὐδ' ἀφραίνων ἄνθρωπος μὴ πονηρῷ ἐλαυνόμενος πνεύματι. τοιαῦτα μὲν οὖν ἐν ἐκείνῳ τοῦ κακόφρονος πηγάσου τὰ ληρήματα· τῆς δὲ τοσαύτης κακοφροσύνης κατάφωρα ἤδη γενόμενα, ἦπου παρὰ πάντων τοῦ λοιποῦ ἔσται κατάπτυστα ϗ ἀπόβλητα. ὡς δὲ ϗ πᾶσαν περιελεῖν

τὴν

τὴν ἀχλὺν, ἥτις ὑπελέλειπτο ἀθρόως πολλὴ ἐπιχυθεῖσα τοῦ λογιστικοῦ ὑπὸ τῶν τοσούτων ὕθλων, οἷς ἐντυχεῖν ἄλλως ἐγένετο, ἔργον ὑπὲρ αὐτῶν ἀνεβαλόμην, καὶ τὸν ἔλεγχον ἐξετέλεσα ἐν τρισὶ διαλόγοις σαφέστατα. οἶμαι δὲ ταῦτα ἀναγνοὺς ἕκαστος, τὸν μὲν κακόφρονα πήγασον πλατυτέρῳ στόματι καταπτύσει, τῶν πολλῶν κόσμων· ἀγάσεται δὲ μᾶλλον τοῦ ἑνὸς τὴν ἁρμονίαν καὶ καλλονὴν, καὶ ἐκ ταύτης ἐπὶ τὸν ἀρχιτέκτονα λόγον ὑψώσει τὸν νοῦν, τῆς ἐκεῖθεν ἀπαυγαζούσης σοφίας ἱμειρόμενος.

# ΔΙΑ΄ΛΟΓΟΣ Α΄.

## Ε'ΜΠΡΗΣΜΟ`Σ ΤΟΥ͂ ΚΑΤΑ` ΚΟΠΕ΄ΡΝΙΚΟΝ ΚΟ΄ΣΜΟΥ.

# ΔΙΑΛΟΓΟΣ Α΄.

## Κρίτων, καὶ Πολύφημος.

ΠΟΛΥ'Φ. Πολλάκις περιβλεψαμένῳ τὸ πλῆθος τῶν ἀπείρων ἀςέρων, καὶ ἐπιλογισαμένῳ τὰ ἐπέκεινα αὐτῶν διαςήματα, ἔννοιά μοι ἐγένετο, ὡς ἐν τοσέτοις ἀπείροις διαςήμασιν, ἐπάναγκες ἐνυπάρχειν πολλάς, καὶ ἀναριθμήτες χώρας περιοικεμένας, ὡς αὕτη ἡ καθ᾽ ἡμᾶς περίγειος λῆξις.

ΚΡΙ'Τ. Αὕτη ἡ ἔννοια, μᾶλλον δ᾽ εἰπεῖν ὑπόνοια καὶ ἐπ᾽ ἄλλες ἐπῆλθε, καὶ πρὸ δύο χιλιάδων ἐτῶν καὶ ἐπέκεινα, ἐν ταῖς διατριβαῖς τῶν φιλοσόφων ἀπεδοκιμάσθη καταγνωσθεῖσα.

ΠΟΛΥ'Φ. Καὶ πῶς ὐκ ἔςιν εὔλογος; ἐγὼ γὰρ καὶ ἐν βιβλίοις ανέγνων, καὶ παρὰ πλειόνων ἀκήκοα, ὅτι κοινῶς ἤδη ἐν ταῖς ἀκαδημίαις τῆς Εὐρώπης πρεσβεύεται, κατὰ τὸ σύςημα τῦ Κοπερνίκυ.

ΚΡΙ'Τ. Οὐδὲν θαυμαςὸν, εἰ καί τινες ἀποπλανηθέντες τῦ Ἑλικῶνος, ἐξέπεσον εἰς τὸν Κιθαιρῶνα, καὶ παραπαίοντες καταφλυαρῦσιν, ἀλλ' ἡμεῖς καὶ τὰς αἰσθήσεις ἀβλαβεῖς, καὶ τὰς φρένας σώας ἔχοντες, καὶ ἐπὶ πᾶσιν ἡγεμόνα τὸν ὀρθὸν λόγον ποιῦμενοι, ὐδέποτε ἐξετράπημεν εἰς τοιαῦτα ἄτοπα καὶ παράλογα.

ΠΟΛΥΦ. Καὶ πῶς τὸ τοιῦτον δόγμα ἀπ' ἐναντίας ἐςὶ τῦ ὀρθῦ λόγυ καὶ ἀσύςατον;

ΚΡΙ'Τ. Μάλιςα.

ΠΟΛΥ'Φ. Α'λλὰ δίδαξον.

ΚΡΙ'Τ. Ο' κόσμος ὗτος ἢ ἄπειρος ἐςιν, ἢ πεπερασμένος.

ΠΟΛΥ'Φ. Ε'μοὶ δοκεῖ γε ἄπειρος· τὶ γὰρ τὸ ἐντεῦθεν ἄτοπον, εἰ ἕκαςος τῶν ἀςέρων οἷον τις ἥλιος, καὶ περὶ ἕκαςον τοιῦτον ὄντα γενρὰ ἄττα σώματα, ὓς καὶ πλανήτας ὀνομάζομεν, καὶ ταῦτα περιοικῦμενα περιοδεύει; τῦτο γὰρ μάλιςα θαυμαςὸν καὶ μεγαλοπρεπέςερον ἐςὶ τὸ σύνταγμα· αὐτὸ δὲ καὶ ὁ Κοπέρνικος, καὶ πολλοὶ, εἰ μὴ πάντες οἱ σοφοὶ τῆς Εὐρώπης πρεσβεύυσι. τῦτο καὶ ἐμοὶ λίαν ἀγαςόν.

ΚΡΙΤ. Εἰ τῦτο ἀρέσκει Κοπερνίκῳ καὶ ἄλλοις, παρείσθω τὰ νῦν· αὐτὸς δὲ δοξάζεις Α'., ὅτι ὁ κόσμος ἐςὶν ἄπειρος. Β'., ὅτι ὁ ἥλιος αὐτὸς καὶ ἕκαςος

τῶν ἀςέρων, οἷον τις ἥλιος ὢν, περὶ ἑαυτὸν ἄγει γεηρά ἄττα σώματα, κέντρε λόγον ἐπέχων· Γ., ὅτι τὰ γεηρὰ ταῦτα σώματα περιοικεῖται.

ΠΟΛΥΦ. Μενὲνγε ταῦτα δοξάζω.

ΚΡΙΤ. Ἀλλὰ ταῦτα πάντα παράλογά εἰσι, καὶ φυσικῶς ἀδύνατα καὶ ἀσύςατα.

ΠΟΛΥΦ. Καὶ τί ἀδύνατον ἐπακολεθεῖ, ἐὰν ὁ κόσμος ὑποτεθῇ ἄπειρος; Ἰδὲ γὰρ ἐγὼ τὸν κόσμον φαντάζομαι ἄπειρον· τὸ δὲ ἀδύνατον ὔτε νῷ ὔτε φαντασίᾳ ἐςὶ ληπτόν.

ΚΡΙΤ. Ὀρθῶς ἂν ἔλεγες φαντάζεσθαι, εἰ τῷ ἀπείρῳ ἐδίδετο φαντασία· ἀλλ' ὐδὲ φαντασία ἂν γένοιτο. δοκεῖς δὲ, φαντάζῃ μέν τοι διάςημα ψιλὸν ἀόριςόν πως, καὶ συγκεχυμένην ἔχεις φαντασίαν σώματος. σῶμα δὲ φυσικὸν οἷον ὁ κόσμος, ἄπειρον ὑπάρχειν ἀδύνατον.

ΠΟΛΥ. Καὶ πῶς τῦτο δεικνύεις;

ΚΡΙΤ. Ἐπίςηθι. τῦτο τὸ κατὰ σὲ ἄπειρον, ἢ ἓν ἐςι σῶμα, ἢ πολλά. καὶ εἰ μὲν ἐςὶν ἕν, ἢ ἁπλῦν ἐςὶν, ἢ μικτόν. ἁπλῦν ὖν σῶμα ὐκ ἔςιν ὁ κόσμος, ὡς καὶ ἡ αἴσθησις μαρτυρεῖ, καὶ ὅτι ὐκ ἦν κόσμος ὁ κόσμος· διότι ἐκ πολλῶν ὁ κόσμος. ἐκεῖνο δὲ, εἴπερ ἦν, ἓν ἦν, ἁπλῦν ὄν. ἀλλ' ὐδὲ μικτὸν ἐςί· διότι εἰ μικτὸν ὑποτεθῇ ἄπειρον εἶναι, ἔσονται πάντα τὰ ἁπλᾶ, ἐξ ὧν ἐκεῖνο, κατ' ἐ-

κεῖνο ἄπειρα, καὶ ἔςαι τι τῦ ἀπείρυ ἀπειρότερον· τὸ γὰρ ὅλον μεῖζον ἑκάςυ τῶν μερῶν, καὶ ἅμα ἄπειρα καὶ ὐκ ἄπειρα, καὶ πεπερασμένα καὶ ὐ πεπερασμένα, τὸ ἀδύνατον. εἰ δὲ ὑποτεθῇ πολλὰ, καὶ ταῦτα ἢ πάντα ἄπειρα εἰσὶ, καὶ ἔςαι τὸ ὅλον τῶν ἀπείρων ἀπειρότερον, ὅπερ ἄτοπον, ἢ τὰ μὲν πεπερασμένα εἰσὶ, τὸ δὲ ἄπειρον. ἀλλὰ πεπερασμένα σώματα ἐν ἀπείρῳ φυσικῶς ὐ συνίςαται· πᾶν γὰρ σῶμα φυσικὸν ἔχει τινὰ ποιότητα, εἴτυν δύναμιν. τῦ μὲν ὖν πεπερασμένυ σώματος πεπερασμένη ἐςὶ καὶ ἡ δύναμις, ἄπειρος δὲ τῦ ἀπείρυ· ἢ γῦν αὕτη ὁμοειδὴς ἐςι τῇ ἐν τοῖς καθ᾽ ἕκαςα πεπερασμένοις σώμασι, καὶ ὕτω καὶ ταῦτα ὁμοειδῆ ἔςαι τῷ ἀπείρῳ, καὶ εἰς ἓν αὖθις οἰχήσεται τὰ πολλὰ, καὶ ἓν ἔςαι καὶ ἁπλῦν τὸ σῶμα, καὶ κόσμος ὐκ ἔςαι, ἢ ἑτεροειδὴς ἐςὶν ἡ ἐν ἑκάςῳ τῶν πολλῶν ποιότης, ἵνα ᾖ πολλὰ, καὶ ἅμα ἑτέρα τῇ ποιότητι τῦ ἀπείρυ, καὶ ἑπομένως ὑπεναντία. ἀλλ᾽ ὐκ ἂν ὑποςαίῃ, θᾶττον δὲ οἰχήσεται· πῶς γὰρ ὑποίσει τῦ ἀπείρυ τὴν δύναμιν τὸ πεπερασμένον; κατακρατήσει ὖν τὸ ἄπειρον τῦ πεπερασμένυ, καὶ πάλιν ἓν ἔςαι σῶμα, καὶ κόσμος ὐκ ἔςαι. ὥςε φυσικῶς σῶμα ἄπειρον ὐκ ἔςιν, ὁ γὰρ πέφυκε συνυπάρχειν ἑτέρῳ. ὐδὲ ὁ κόσμος ἄρα ἄπειρός ἐςιν, ὅτι ἐξ ἑτεροειδῶν συγκείμενος ὑπάρχει.

ΠΟΛΥΦ. Συνῆκα· καὶ ἐκ λόγȣ συντίθημι καὶ καταγινώσκω τῶν ἀλόγως φληνάφων τῶν κενολόγων νεωτεριςῶν· ἐγὼ γὰρ ταῦτα σοφῶν εἶναι καὶ ἐπιςημόνων ὑπελάμβανον δόγματα· νῦν μέν τοι ἠρξάμην συνιέναι, ὡς ἀμαθῶν καὶ κενολόγων εἰσὶν ὑπηχήματα. — Πρὸς δὲ τὸ Β΄. τὶ λέγεις;

ΚΡΙΤ. Ὅτι ἕκαςος ἀςὴρ ὁμοειδές ἐςὶ σῶμα, καὶ τῆς αὐτῆς φύσεως τῷ ἡλίῳ· τοῦτο καὶ ἡ αἴσθησις μαρτυρεῖ. ὅτι δὲ ἐλάσσων πως τȣ̃ ἡλίȣ, τȣ̃το καὶ οἱ μαθηματικοὶ ἐπιλογισμοὶ προσβεβαιȣ̃σιν, ἀλλὰ τί τȣ̓ντεῦθεν;

ΠΟΛΥ. Ἐπεὶ ἕκαςος τῶν ἀςέρων ὁμοειδές ἐςι σῶμα τῷ ἡλίῳ, ὁ δὲ ἥλιος ἐςὶ κέντρον τῶν ἰδίων πλανητῶν, ἐκ τȣ̃ ὁμοίȣ εἰκάζω, ὅτι ἕκαςος ἔχει ἰδίȣς πλανήτας, καὶ ἑπομένως, ἢ πάντας ἢ τινὰς, ἢ ἕνα κατῳκημένȣς. καὶ καλῶς ἄρα λέγȣσιν, ὅτι εἰσὶ κόσμοι ἄπειροι, εἴτȣν ἀναρίθμητοι, ἐννοȣ̃ντες κόσμȣς τȣ̀ς κατῳκημένȣς πλανήτας.

ΚΡΙΤ. Ὁ ἐκτεθεὶς συλλογισμός σȣ συνάγει ἐκ ψευδȣ̃ς λήμματος, ὅτι ὁ ἥλιος ἐςὶ κέντρον τῶν πλανητῶν, καὶ ἐκ ψευδȣ̃ς ὑπολήψεως, ὅτι οἱ πλανῆτες εἰσὶ κατῳκημένοι, ὥσπερ ἡ γῆ. πληθύνεις τȣ̀ς κόσμȣς πλανήτας εἰκάζων περιοικȣμένȣς ἀναριθμήτȣς· ἀλλὰ καὶ ἡ ὑπόθεσίς σȣ, ὅτι ὁ ἥλιος ἐςὶ

κέν-

κέντρον τῶν πλανητῶν ἐςὶ ψευδὴς, καὶ ἡ εἰκασία σε ἐσφαλμένη.

ΠΟΛΥΦ. Καὶ πῶς ἐκ ἔςιν ἀληθὴς τε Κοπερνίκε ἡ ὑπόθεσις;

ΚΡΙΤ. Οὔμενεν.

ΠΟΛΥΦ. Καὶ τὶς ὁ ἀντιπίπτων λόγος, δέομαι ἀκεσαι, καὶ ἐπισημόνως μαθεῖν.

ΚΡΙΤ. Εἰ συνεχῶς ἐπιςήσεις, ἕξεις τὸν ἔλεγχον ἀναντίῤῥητον· ἀλλ' ἕπε τῷ λόγῳ, καὶ σύνες ὅ λέγεται· ὁ κόσμος ἕτος πεπερασμένος ἐςὶν ἢ ἄπειρος;

ΠΟΛΥ. Πεπερασμένος ὡς ἀναντιῤῥήτως ἀποδέδεικται.

ΚΡΙΤ. Ἐπεὶ πεπερασμένος ἐςὶ, καὶ σχῆμα ἔχει. ἔςω τῦτο ἢ σφαιρικὸν, ἢ κυβικὸν, ἢ ὁποῖον ἄλλο βέλει.

ΠΟΛΥ. Πάντως ἕν σχῆμα ἐξ ἀνάγκης ἔχει.

ΚΡΙΤ. Καὶ μέσον ἄρα ἕν, καὶ ἄκρα, καὶ τόπυς διαφόρυς τῶν ἐγκειμένων μερῶν.

ΠΟΛΥ. Ἐξ ἀνάγκης ταῦτα πάντα ἔχει.

ΚΡΙΤ. Εἰ μὲν ἦν τὸν ἥλιον θήσομεν ἐν τῷ μέσῳ τῦδε τε παντὸς σώματος, ἀνάγκη τὺς ἄλλυς τῶν ἀςέρων τιθέναι κατὰ τὰ ἄλλα μέρη τε παντὸς, καί τινα, δὲ περὶ τὰ ἄκρα.

ΠΟ-

ΠΟΛΥΦ. Ἀνάγκη.

ΚΡΙΤ. Θῶμεν δὴ πρῶτον τὸν ἥλιον ἐν τῷ μέσῳ.

ΠΟΛΥΦ. Ἀλλὰ τοῦτο ἐγὼ ὑπεθέμην, τί δ' ἐκ τούτου ἕπεται;

ΚΡΙΤ. Ἕπεται ἐξ ἀνάγκης, ὡς οὔτε ὁ ἥλιος, οὔτε οἱ ἄλλοι ἀστέρες πλανήτας περὶ αὐτοὺς ἔχουσι.

ΠΟΛΥ. Καὶ πῶς τοῦτο; ἐγώ γε οὐ συνορῶ.

ΚΡΙΤ. Ἕκαστος πλανήτης καθ' ὑμᾶς τοὺς κενοδόξους, ἐξ ἐπικέντρου καὶ ἀποκέντρου δυνάμεως περιοδεύει.

ΠΟΛΥ. Καὶ ὄντως. τοῦτο ἐπενόησεν ὁ κλεινὸς Κοπέρνικος· τοῦτο ὁμολογοῦσιν ἅπαντες οἱ νῦν ἀκαδημιακοὶ, ἐπίκεντρον τὴν δύναμιν ὀνομάζοντες, δι' ἣν πρὸς τὸν ἥλιον (τοῦτο νοείσθω καὶ περὶ τῶν ἄλλων ἀστέρων) ἕκαστος πλανήτης φέρεται, ἀπόκεντρον δὲ, δι' ἣν ἀφ' ἡλίου, ἐξ ὧν γίνεται ἡ κυκλικὴ καὶ περιοδικὴ ἑκάστου πλανήτου κίνησις.

ΚΡΙΤ. Εὖγε, πάνυ καλῶς ἡρμήνευσας τὴν ἐπίκεντρον καὶ ἀπόκεντρον, καὶ ἐπιμελῶς ἐξέμαθες ταύτας τὰς φωνὰς κατὰ τὴν ἑρμηνείαν τῶν νεωτέρων· ἀλλ' αἱ δυνάμεις τῶν δύο τούτων κινήσεων ἢ ἄμφω ἐν ἑνί εἰσιν, ἢ παρὰ μέρος ἑκατέρα. καὶ εἰ παρὰ μέρος, ἢ ἡ ἐπίκεντρος ἐστὶν ἐν τῇ γῇ, καὶ ἡ ἀπόκεντρος ἐν τῷ ἡλίῳ, ἢ ἀνάπαλιν ἡ ἐπίκεντρος ἐν τῷ ἡλίῳ καὶ ἡ ἀπόκεντρος ἐν τῇ γῇ· (τοῦτο λεγέσθω καὶ περὶ τῶν λοιπῶν καθ' ὑμᾶς πλανητῶν.) Θῶμεν

μεν ὂν πρῶτον ἄμφω ἐν ἑνὶ· ἔςαι ἄρα ἡ μὲν κατὰ φύσιν, ἡ δὲ βιαία· ὃ γὰρ τἀναντία ἅμα συνυπάρχειν τινὶ κατὰ φύσιν πέφυκε· μία γὰρ φύσις τῶν σωμάτων μιᾶς καθ᾽ αὑτὸ ἐνεργείας καὶ κινήσεως ἑκάςῳ, καὶ ὀκ᾽ ἂν εἴη ἐκ φύσεως τὸ αὐτὸ ἅμα ἕλκειν καὶ μὴ ἕλκειν, καὶ ἀπωθεῖν καὶ μὴ ἀπωθεῖν. πόθεν ὂν ἡ βιαία; κα πῶς διαρκεῖ ἐν ἐκείνῳ ὄσα βιαία; ὀδὲν γὰρ βίαιον διαμένει· ὀκ ἄρα ἄμφω ἐν ἑνὶ, ὄτε ἐν ἡλίῳ, ὄτε ἐν τῇ γῇ· (τὸ αὐτὸ εἰρήσθω καὶ περὶ τῶν πλανητῶν). θῶμεν δὲ δεύτερον παρὰ μέρος τὴν μὲν ἐπίκεντρον ἐν τῇ γῇ, τὴν δὲ ἀπόκεντρον ἐν τῷ ἡλίῳ· ἔςαι τοίνυν ἡ μὲν ἐν τῇ γῇ ἐλαύνοσα ἐπὶ τὸν ἥλιον, ὅτι ἐπίκεντρος, ἡ δὲ ἐν τῷ ἡλίῳ ἀπωθοσα, ὅτι ἀφ᾽ ἡλίο ἀπόκεντρος ὀσα. ὥςε ἢ ὅλως ὀδετέρα κινήσει, ἢ ἐπὶ ποσὸν ἡ ἑτέρα κινήσει, καὶ συμμετρομένη τῇ ἀντιθέτῳ εὐθὺς ςήσει τὸ γεηρὸν σῶμα, ὀδέποτε δὲ περιάξει. ἀλλὰ θῶμεν τρίτον ἀνάπαλιν, τὴν μὲν ἐπίκεντρον ἐν τῷ ἡλίῳ, τὴν δὲ ἀπόκεντρον ἐν τῇ γῇ· (τοῦτο λεγέσθω καὶ περὶ τῶν πλανητῶν)· ἔςαι τοίνυν ἡ μὲν ἐπίκεντρος ἑλκυςικὴ, ἔτι πρὸς τὸν ἥλιον ἕλκει, ἐς κέντρον τῆς φορᾶς ὑποτίθεται· ἡ δὲ ἀπόκεντρος ἡ ἐν τῷ κινομένῳ, ὅτι ἀφ᾽ ἡλίο ἐλαύνει, ταύτῃ γε ἐναντία. ὥςε εἰ μὲν ἐξισάζει ἡ ἑτέρα τῇ ἑτέρᾳ ςήσει πάντως τὸ γεηρὸν σῶμα εἴτον καθ᾽ ὑμᾶς

πλα-

πλανήτην· εἰδὲ ὐκ ἐξισάζει κινήσει ἡ ἑτέρα, ἀλλ' ἐπ' εὐθείας, ἢ ἐπὶ τὸν ἥλιον, ἢ ἀπὸ τῦ ἡλίυ, μέχρις ὗ ἐξισάσῃ, ὐδέποτε μέντοι περιάξει· καὶ ὐδ' ἂν γένοιτο κίνησις περιοδικὴ ἐξ αὐτῶν ὡς ὑποτίθεται.

ΠΟΛΥ'. ἀλλὰ πῶς λέγεται, καὶ παρὰ πᾶσιν ὁμολογεῖται; ἴσως ἔξω τῦ πλανήτυ τίθεται ἡ ἀπόκεντρος.

ΚΡΙ'Τ. Ἀ'λλὰ καὶ τῦτο πᾶσαν ἀνατρέπει τὴν πολύκροτον ὑπόθεσιν τῦ Κοπερνίκυ, καὶ τὺς πολλὺς κόσμυς καθαιρεῖ, καὶ λαμπρῶς ελεγχει τὴν περὶ αὐτῶν ἀπάτην.

ΠΟΛΥ'. Ἀ'λλὰ καὶ περὶ τύτων παρακαλῶ δίδαξον· ἐγὼ γὰρ ἀκρίτως παρέλαβον τὰς τοιαύτας δόξας ἐκ προλήψεως κενωτέρας περὶ τῶν νέων φιλοσόφων.

ΚΡΙ'Τ. Ἐ'πεὶ γῦν τῷ κινυμένῳ ἡ ἀπόκεντρος ὐχ ὑπάρχει, εἴ τις ἦν, ἦν ἂν ἐκτὸς τῦ κινυμένυ καθ' ὑμᾶς πλανήτυ.

ΠΟΛΥ'. Δοκεῖ γάρ· καὶ τῦτο οἶμαι φρονῦσιν οἱ σοφοὶ καὶ ἀστρονόμοι καὶ φυσικοί· ἐνυπάρχει δέ ἡ τοιαυτη δύναμις δηλονότι ἡ ἀπόκεντρος ἐν τοῖς λοιποῖς ἄστρασιν, ἐπειδὴ καὶ πάντες ὁμοφυεῖς εἰσὶ τῷ ἡλίῳ, καὶ δύναμιν ἑλκυστικὴν ἔχυσι τῶν γειτόνων σωμάτων, ὥστε ὐ μόνον ὁ ἥλιος ἕλκει εἰς ἑαυτὸν τὺς πλανήτας, ἀλλα καὶ πάντες οἱ ἀστέρες κατὰ λό-

γον τῆς ἀποςάσεως, ἐφ' ἑαυτὰς μᾶλλον καὶ ἧττον ἐφέλκεσι· διόλε γὰρ τῦ μεγάλε τῦδε συντάγματος ἥκει ἡ ἑκάςε ἐνέργεια, ὡς δὴ αὐτῦ τῦ φωτὸς βεβαιέμεθα. εἰ γὰρ ὁ ὀφθαλμὸς, μᾶλλον δ' εἰπεῖν ἐλάχιςον μόριον τῦ ὀφθαλμῦ κοινωνεῖ τῦ φωτὸς τοσέτων ἀςέρων, πολλῷ μᾶλλον τὰ μέγιςα σώματα τῶν πλανητῶν κοινωνῦσι τῆς ὅλης ἐπενεργείας τῶν ἀςέρων.

ΚΡΙΤ. Ἀλλ' ἡ τοιαύτη δύναμις ἐνῦσα φυσικῶς πᾶσι τοῖς ἄςρασι, καὶ διαχεομένη ἐπὶ πάντα τὰ ἐνόντα καθ' ὑπόθεσιν γενηρὰ σώματα, ἐξ ἀνάγης περὶ ἕν τι κέντρον ἑνῦται· τῦτο δὲ τί ἂν ἄλλο εἴη; ἢ τὸ μέσον τῦδε τῦ μεγάλε συντάγματος· καὶ κατ' αὐτὸ ἄρα πάντοθεν χεομένη ἐξισάσειεν ἡ ἐφελκυςικὴ αὕτη δύναμις. καὶ κατ' αὐτὸ γενομένης τῷ λόγῳ τομῆς διαιρεθείη ἂν εἰς ἶσα κατὰ τὰ δύο ἡμισφαίρια. Θῶμεν ὖν ἐν αὐτῷ, ὡς ὑμεῖς ἐν τῷ μέσῳ τίθεσθε τὸν ἥλιον· ἄρα ἡ ἑκατέρωθεν τῶν ἀςέρων ἑλκυςικὴ δύναμις κατ' αὐτὸν ἐξισάζει. τεθείσθω δὲ ἀπωτέρω τῦ ἡλίε πλανήτης ὡς ὑποτίθεται· ἄρα κατ' αὐτὸν ὐκ ἔτι δίχα τέμνεται ἡ τῶν πάντων ἀςέρων δύναμις, ἀλλ' ἐπιχήσει ἡ κατὰ τὸ ἕτερον μεῖζον τμῆμα μείζων ὖσα· ὥςε ἐπὶ τὸ μέσον κινεῖν πρὸς ἑαυτὴν ἕλκεσα, καὶ ὐκ ἔτι ὖν ἔςαι ἀπόκεντρος, ἀλλ' ἐπίκεντρος, εἰ πρὸς τὸ μέσον,

σον,

σου, τ' αὐτὸν εἰπεῖν πρὸς τὸ κέντρον ἕλκει, καὶ κινήσεως ἐπ' εὐθείας αἰτία, ἀλλ' ȣ κυκλοφορίας, καὶ κατὰ τὸ μέσον ἐξισȣμένη ςάσεως. ἐπεὶ δὲ κατὰ τὸ μέσον παρȣσιάζει καὶ ἡ τȣ͂ ἡλίȣ ἑλκυςικὴ δύναμις, πᾶν ἄρα γεηρὸν σῶμα ἐπὶ ταύτην θᾶττον οἰσθήσεται, συνεργȣ͂ντος τȣ͂ ἡμίσεως πλήθȣς τῶν ἀςέρων, καὶ εἰ πῦρ ἐςι καθ' ὑμᾶς ὁ ἥλιος, ταχέως πᾶν γεηρὸν εἴτȣν πλανήτης ἐμπρησθήσεται μᾶλλον, ἢ συνυπάρξει ἡλίῳ.

ΠΟΛΥ΄ Ἀναγκαίως ταῦτα ἐπακολȣθεῖ, καί συνομολογῶ τῷ λόγῳ ἑπόμενος, ἀλλὰ κατ' αὐτόν τὸν λόγον οἱ περὶ τȣ̀ς ἄλλȣς ἀςέρας λεγόμενοι πλανῆται παντάπασιν ἐκλείπȣσι, τὸ παραδοξότατον.

ΚΡΙΤ. Παραδοξότατον μὲν καθ' ὑμᾶς, ἀναγκαιότατον δὲ ἐκ φύσεως· εἰ γὰρ ἡ ἀπόκεντρος δύναμις τῆς κυκλοφορίας ἐκτὸς τȣ͂ κινȣμένȣ ὑπάρχει, καὶ αὕτη ἑπομένως ἐκ τῶν ἀςέρων, πάντως οἱ ἐκτὸς τȣ͂ μέσȣ ἀςέρες, καὶ οἱ περί αὐτȣ̀ς πλαττόμενοι πλάνητες, ἄνισον ἔχȣσιν ἀεὶ τὴν παρ' ἑκάτερα ἀπόκεντρον δύναμιν, ὥςε συνημμένη ἑκάςȣ ἰδίᾳ ἀςέρος ἡ ἑλκυςικὴ δύναμις τῇ παρὰ θάτερον ὁλκῇ τῶν πλειόνων ἀςέρων, εἰς ἑαυτὴν καθελκύσει τὸ γεηρὸν σῶμα, εἴτȣν τὸν πλανήτην, ἢ ςήσει καθάπαξ, καὶ ȣ̓δέποτε ἄρα περὶ ἐκείνȣς τȣ̀ς ἀςέρας περιοδεύσειέ τις πλανήτης. οἱ δὲ περὶ τὰ ἄκρα τȣ͂ συςήματος

τȣ̂δε

τῆδε ἀςέρες, μὴ ἔχοντες περαιτέρω ἄλλες ἀςέρας, ὅλως ἀμοιρήσεσι καὶ τῆς ἀποκέντρε δυνάμεως, καὶ τῶν πλαττομένων πλανητῶν. ἕτως ἄρα τῆς ἀποκέντρε δυνάμεως ἐκτὸς ἐν τοῖς ἄλλοις ἄςρασιν ὑποτιθεμένης, τῆς δὲ ἐπικέντρε ἐν τῷ ἡλίῳ, καὶ ἰδίᾳ ἑκάςῳ ἀςέρι, τῶν δῆθεν περὶ αὐτὲς πλανητῶν ἥτε ὕπαρξις συναναιρεῖται, καὶ ἡ κίνησις πέπαυται· ἐδ᾽ ὠφελήσει ἄρα εἰς παράδειγμα προβαλλομένη ἡ ἐξ ἀντιθέτων δυνάμεων συνςαμένη κίνησις, εἶτε ἐπιδινεμένων ὑδάτων, καὶ ἀνέμων συςροφαῖς, θυελλῶν τε καὶ τυφώνων καὶ τοιέτων συςάσεσι, καὶ μηχανικοῖς τεχνεργήμασιν. ἐπὶ τῶν τοιέτων ἤτοι ἄμφω αἱ δυνάμεις ἐκτὸς τε κινεμένε, τετέςι βίᾳ ἐπενεργᾶσιν, ἢ τῆς μὲν ἐκτὸς, τῆς δὲ ἐντὸς ἐπενεργέσης, περιδινεῖται τὸ κινέμενον.

ΠΟΛΥΦ. Ἀλλ᾽ ἐὰν ὑποθῶμεν τὴν ἐπίκεντρον ἐκτὸς ἐν τοῖς ἄλλοις ἄςρασι, τὴν δὲ ἀπόκεντρον ἐν τῇ γῇ καὶ τοῖς πλανήταις, ἐδὲν τοιῦτον ἐπακολεθεῖ ἄτοπον, καὶ ἕτως ἀληθεύσει τὸ μέγα τῦτο σύςημα.

ΚΡΙΤ. Ἀλλὰ καὶ ἕτω διαῤῥεῖ καὶ καταπίπτει τὸ καινόν σε σύςημα· εἰ γὰρ ἡ ἐπίκεντρος ἐκτὸς ἐν τοῖς λοιποῖς ἄςρασιν, ἔςιν ἄρα ἐπὶ τὸν ἥλιον ἤτοι ἀπωθῆσα ἢ ἕλκεσα· ἐπεὶ δὲ κέντρον ἐ μόνον τῆς περιφορᾶς τῶν πλανητῶν, ἀλλὰ καὶ τῦ παντὸς ὁ

ἥλιος

ἥλιος ὑποτίθεται, κατ' αὐτὸν ἄρα τομῆς γενομένης, τμηθείη ἂν δίχα κατὰ τὰ δύο ἡμισφαίρια ἡ οὕτως ὑποτιθεμένη τῶν ἀστέρων ἁπάντων ἐνέργεια εἴτε ἕλκουσα εἴτε ἀπωθοῦσα. τεθείσθω οὖν Α'. ἕλκουσα· εἰ γοῦν ἕλκει ἐπίσης καθ' ὃ ὁ ἥλιος, ἐπιρῥωσθεῖσα τῇ ἑλκυστικῇ δυνάμει τοῦ ἡλίου, ἡ αὐτὴ γὰρ τῶν ὁμοφυῶν ἡ δύναμις εἴτουν ἐνέργεια, καθέλξει πᾶν γεηρὸν κείμενον παρὰ θάτερον, ὡς ὑποτίθεται τῶν πλανητῶν ἕκαστος, καὶ ἐπισχοῦσα καθέξει, καὶ ἐμπρήσει τάχιστα, ἢ περιάξει. τεθείσθω Β'. ἀπωθοῦσα· εἰ γοῦν ὠστικὴ καὶ πάντοθεν ἐπὶ τὸ κέντρον ἀπωθοῦσα ἐστὶν ἡ τῶν ἀστέρων δύναμις, ἔστιν ἄρα ἐπὶ τὸν ἥλιον· ὁ γὰρ ἥλιος κέντρον τῶν πλανητῶν ὑποτίθεται. ἔστι δὲ καὶ ἡ τοῦ ἡλίου τοιαύτη· ὁμοφυὴς γὰρ τοῖς ἄστρασιν· ἔστιν ἄρα καὶ αὕτη ἐπὶ τὸν ἥλιον, ταυτὸν εἰπεῖν ἐφ' ἑαυτὴν κινοῦσα, ἡ δὲ ἐφ' ἑαυτὴν κινοῦσα δύναμις, ἔστιν ἑλκυστική, ἔσται ἄρα ἡ αὐτὴ ἑλκυστικὴ ἅμα καὶ οὐχ ἑλκυστική, ὅτι ὠστική. καὶ ὠστικὴ ἅμα καὶ οὐκ ὠστική, τὰ ἀδύνατα. εἶτα καὶ τομῆς γενομένης κατὰ τὸν πλανήτην εἰς ἄνισα ἂν διατέμνοιτο. ἐπιῤῥωσθεῖσα γοῦν τῷ μείζονι τμήματι ἡ τοῦ ἡλίου ὠστικὴ δύναμις, ἀεὶ παρὰ θάτερον ἤτοι ἐπὶ τὸ ἔλαττον ἐξώσει, καὶ οὐδέποτε περιάξει τὸν πλανήτην. προσλαβοῦσα δὲ σύνδρομον καὶ τὴν ἐν τῷ πλανήτῃ ἀπόκεντρον

δυνα-

δύναμιν, ἐν τούτῳ γὰρ ὑπετέθη, ἐπὶ τὰ πόῤῥω μᾶλλον καὶ μᾶλλον ἐξώσει, ἄχρις οὗ κινούμενον εἰς πέρας ἥκῃ καὶ παύσηται, περιοδεύσει δὲ οὐδαμῶς.

ΠΟΛΥ. Ἀλλ' ἐὰν ὑποτεθῇ ἑκατέρα ἥτε ἀπόκεντρος καὶ ἡ ἐπίκεντρος δύναμις ἐκτὸς τοῦ κινουμένου, ἀλλ' ἡ μὲν ἐν τῷ ἡλίῳ, ἡ δὲ ἐν τοῖς ἄλλοις πλανήταις, τίποτε ἐπακολουθεῖ ἄτοπον;

ΚΡΙΤ. Τὰ ἴσα τῶν ἀνωτέρω, καὶ χείρονα ἕπεται· εἰ γὰρ ὑποτεθῇ ἡ ἀπόκεντρος μὲν ἐν τῷ ἡλίῳ, ἡ δὲ ἐπίκεντρος ἐν τοῖς ἄλλοις πλανήταις, εἰ μὲν αὕτη ὠστικὴ ἐστιν, ἐπὶ τὸν ἥλιον ἐλαύνει, καὶ ἐστιν ἐναντία τῇ ἀποκέντρῳ ὡς ἀφ' ἡλίου ἀπωθούσῃ, καὶ συμμετρουμένη στήσει τὸ γεηρὸν σῶμα, ἢ μὴ συμμετρουμένη συγκινουμένων ἀεὶ καὶ ἀεὶ ἐκείνων, ἀνωμάλως καὶ ἀτάκτως κινήσει τὸ κινούμενον, οὐδέποτε δὲ περιάξει. εἰ δὲ ἑλκυστικὴ ἐστιν, ἢ ἑνὸς ἐν ἑνὶ ἀφώρισται, ἢ ἑκάστη ἐν πᾶσιν ἐστιν. ἀλλ' εἰ μὲν ἑκάστου πλανήτου ἐν πᾶσι τοῖς ἄλλοις πλανήταις ὑποτεθῇ ἡ ἐπίκεντρος αὕτη δύναμις ἑλκοῦσα αὐτὸν, πάντων ἀμοιβαδὸν συγκινούντων καὶ συγκινουμένων, καὶ τοὺς τόπους καὶ τὰς ἀποστάσεις καὶ τὰς σχέσεις παραμειβόντων, ἀνώμαλος ἔσται ἀεὶ τῶν πλανητῶν ἡ κίνησις, ἐπιταχύνουσα καὶ βραδύνουσα, καί ποτε δὲ καὶ στάσις παρεμπεσεῖται, καὶ διακοπὴ τῆς φορᾶς, ἀντισπώντων, καὶ ὅλως σύγχυσις·

καὶ ὀδὲ ἐπίκεντρος ἂν ῥηθείη ἡ τοιαύτη δύναμις, μηδὲν ἔχουσα κέντρον· πάντες γὰρ πρὸς ἑαυτοὺς ἕλκουσι, καὶ οὐδ᾽ ἂν περιοδικὴ κίνησις γένοιτο. εἰδὲ ἑνὸς ἐν ἑνὶ ὑποτεθῇ, ἑλκυστικὴ οὖσα ἡ ὑποτιθεμένη αὕτη ἐν ἑτέρῳ πλανήτῃ ἐπίκεντρος δύναμις, πρὸς ἑαυτὸν ἕλξει ὁ πλανήτης τὸν ἕτερον διὰ ταύτης τῆς ἐπικέντρου δυνάμεως, καὶ ἐν αὐτῷ ἄρα ἔσται τὸ κέντρον, καὶ περὶ αὐτὸν περιοδεύσει ἐκεῖνος, οὐ περὶ τὸν ἥλιον ὡς ὑποτίθεται. εἰδὲ ὑποτεθῇ ἡ ἐπίκεντρος μὲν ἐν τῷ ἡλίῳ, ἡ δὲ ἀπόκεντρος ἐν τοῖς ἄλλοις πλανήταις, ὡστικὴ μὲν οὐκ ἔστιν. οὐ γὰρ ἀφ᾽ ἑαυτῶν, ἀλλ᾽ ἀφ᾽ ἡλίου, ὅς ἐστι κέντρον ἐλαύνει. ἔσται ἄρα ἑλκυστικὴ, ὡς ἀφ᾽ ἡλίου ἕλκουσα, κινουμένων δὲ κἀκείνων καὶ ἀμειβόντων τὴν θέσιν, καὶ προσέλευσιν καὶ ἀπόστασιν, ἀεὶ καὶ ἀεὶ παραλλάσσουσα καὶ αὖθις ἔσται, καὶ οὐδέποτε ὁμαλῶς κινήσει, οὐδὲ περιάξει κύκλῳ· ὁ γὰρ κύκλος ἐξ ἰσοφαροῦς δυνάμεως, ἀεὶ γοῦν καὶ ἀεὶ παρολισθήσει τὸ κινούμενον. εἶτα τῶν φύσει διαφερόντων πῶς ἔσται ἡ αὐτὴ δύναμις; εἰ γὰρ ὁ ἥλιος ἕλκει πρὸς ἑαυτὸν τὸν πλανήτην, ἐπίκεντρον ἔχων τὴν δύναμιν ἐξ ὑποθέσεως, ἕλκει δὲ καὶ ὁ πλανήτης πλανήτην, ὡς τίθεται, ἔσται τῆς αὐτῆς φύσεως ὁ πλανήτης τῷ ἡλίῳ. ὥστε οὔτε ἐν τῷ ἡλίῳ, οὔτε ἐν τοῖς ἄστρασιν, οὔτε ἐν τοῖς πλανήταις, οὔτε ἐν αὐτῷ τῷ

κινεμένῳ διαφόρως τιθεμένων τῶν δύο τέτων δυνάμεων τῆς ἐπικέντρε καὶ ἀποκέντρε, περιοδική τις κίνησις ἔςαι. πόθεν ἒν αἱ κυκλικαὶ κινήσεις καὶ αἱ περιοδεύσεις τῶν πλανητῶν ἐν τῷ παντὶ κατὰ διαφόρες χρόνες καὶ τόπες; πόθεν δὲ καὶ ἐκ τίνων καὶ ἡ ὑποτιθεμένη ἐν τῇ γῇ κατὰ περιςροφὴν κίνησις, καὶ ἡ κατὰ παρέγκλισιν; ὁ γὰρ μόνην τὴν κατὰ περίοδον ὑπέθετο· ἐδὲ γὰρ ἤρκει. ἆρα καὶ ταῦτα ἐξ ἐπικέντρε καὶ ἀποκέντρε δυνάμεως πλάττεται; ἆρα πρὸς ταῦτα ἔχοι εἰπεῖν τί γενναιότερον; ἐδαμῶς. τίθησι γὰρ ὡς βέλεται, ἵνα ἑρμηνεύῃ τὰ φαινόμενα, ὡς θέλει, ἐδὲ ἀκριβολογεῖται τὰς ὑποθέσεις, ὡς ὁ Γάλλος Καρτέσιος ἐν τῇ κατ' ἐκεῖνον κοσμοποιΐα. ὥσπερ γὰρ ἐκεῖνος τὲς ςρόμβες δῆθεν περινοήσας τῶν κύβων, ἐδημιέργει τὸ μέγα τὅτο σύνταγμα, ἕτω καὶ αὐτὸς περιφέρων καὶ κινῶν ποικίλως τὴν γῆν, καὶ τὲς πλανήτας, καὶ μυρίες ἀναπλάττων περὶ ἕκαςον τῶν ἀςέρων πλανήτας ἄλλες, πληθύνει τὲς κόσμες τερατεργῶν, εἰ καὶ ἀναίδην εἰπεῖν περὶ τῶν ἄλλων ἀςέρων ἐκ ἐτόλμησεν· ἔδωκε μέντοι τοῖς ἄλλοις τὰς ἀφορμάς. ἔδει μέντοι μὴ παρακινεῖν τὰς αἰσθήσεις, μηδὲ τῶν φυσει γιγνομένων τὰς ἀρχὰς ἀπωθεῖν, καὶ μὴ πληθύνειν εἰκαίως τὰς ὑποθέσεις, ἐπιςήμης ἀντεχόμενον· ὁ γὰρ ἐξ' ὑποθέσεων ἀδήλων

καὶ

καὶ ἀσυςάτων, ἀλλ' ἐξ ἀρχῶν βεβαίων καὶ ἀληθῶν ἡ ἐπιςήμη. ἐδὲ γὰρ πείσειεν εὖ φρονῦντας ἀποδύσασθαι τὰς αἰσθήσεις, ὡς σφαλλομένας, καὶ τὸν λόγον ἐάσαντας προσέχειν σαθραῖς ὑποθέσεσι. τί γὰρ αὐτῶν κατὰ φύσιν λέλεκται; ἢ λόγῳ συνάδει; τί δ' ἐ μάχεται ταῖς αἰσθήσεσι; πάντα δὴ παρήλλακται τὰ φαινόμενα. ἐρανοὶ γὰρ ἵςανται, καὶ γῆ κινεῖται· φωςῆρες, οἷοι μάλιςα Διὸς καὶ Ἀφροδίτης, γαιῦνται, καὶ γῆ πλανωμένη φῶς ἀπαυγάζει τὴν φύσιν ἀμείψασα. τὰ ἄνω κάτω γίγνεται, καὶ γηγενεῖς ὑπὲρ τὸν ἥλιον γενόμενοι ἐκ ἐπαισθάνονται, καὶ λελήθασιν ὅλως ὑψηλοὶ τὸν ἐρανὸν ἐπαναβαίνοντες, καὶ πρὸς τὰς ἄρκτες εγγίζοντες· ἀπωθῦνται δ' ἔμπης ἐπί τ' ἀντίθετα περιαγόμενοι, καὶ τυφλώττειν δοκῦσι, τηλικαύτης μεταβολῆς παρορῶντες τὸ μέγεθος· ἐ γὰρ τῦ εἰδέναι ἕνεκα τὰς αἰσθήσεις, ὡς τύτοις δοκεῖ, ἡ φύσις ἐνέθηκεν, ἀλλ' ἵνα ταύταις ἐμπαίζεσα, πλανᾷ τὸ ἀνθρώπινον, ἄλλ' ἀντ' ἄλλων πρεσβεύοντας. ἀποδύονται ἄρα ταύτας οὗτοι, τῶν σωμάτων παρώσαντες τὰς γνωςὰς ἰδιότητας, καὶ τυφλοὶ εἰς χάος ἐμπίπτεσιν, ἀποκρύφες μεταλλῶντες, καὶ ἀῤῥήτες ἐκφέροντες. ἐμένει φύσις, ἐ κίνησις, ἐθ' ἕλξις, ἐδ' ὦσις, ἐτ' ἄλλο τι ἐδὲν ἀκριβῦται, πάντα δὲ φύρδην λέλεκται, καὶ φυσι-

κῆς ἐπιςήμης συμπάσης ἀναιρεῖται ἡ γνῶσις, ἵνα συςῇ σφῶν ἡ ὑπόθεσις. ἐπισχύει δ' ὖν ἡ φαντασία τῦ λόγυ ἀργῦντος, καὶ τῶν αἰσθήσεων ὀλιγωρυμένων, καὶ τῆς ἀπάτης αἱ ἀρχαὶ ξένοις ὀνόμασι συγκαλύπτονται. διὸ τοῖς βυλομένοις αὐτὴν ἐκφυγεῖν ἐπὶ τὰς ἀρχὰς τῶν λεγομένων ἀνατρέχειν ἐπάναγκες· ἐντεῦθεν γὰρ ῥαδίως καταπίπτει, καὶ ἐλέγχεται πᾶν τὸ ἀσυςάτως συγκροτύμενον, καὶ ψευδῶς εἰρημένον· οἷα δὴ πέπονθε καὶ τὸ καινὸν τῦτο σύςημα.

ΠΟΛΥ'. Ἀλλ' ἐὰν τις εἴπῃ, ὡς περιςρεφόμενος ὁ ἥλιος, τῇ ἰδίᾳ περιςροφῇ συγκινεῖ καὶ τὸ περὶ αὐτὸν ἅπαν σῶμα, καὶ ὕτω περιάγει καὶ τὺς πλανήτας ὐκ ὀρθῶς λέγει;

ΚΡΙ'Τ. ΟΥ'δ' οὕτω γενναῖόν τι ἐρεῖ, ὐδ' ὀρθόν τι ὑπολαμβάνει· εἰ γὰρ τῇ ἰδίᾳ περιςροφῇ περιάγει τὺς πλανήτας ὁ ἥλιος ἤτοι ἀλλοιώσει κινεῖ, ἢ ἐπαφῇ μόνῃ· ἀλλ' ἀλλοιώσει, ὐκ ἂν κινήσειεν· ὁ αὐτὸς γὰρ καὶ ἐν τῷ αὐτῷ μένων καὶ περιςρεφόμενος, ἐπίσης καὶ κατὰ τὰ αὐτὰ ἔχει τὸ περιέχον. ὐδε γὰρ ἡ κατὰ τὸ αὐτὸ περιςροφὴ γένεσις ἐςιν, ὥσπερ ἡ τῦ παρ' ἡμῖν πυρὸς κίνησις· ὐκ ἄρα ἄλλως καὶ ἄλλως μεταβαλεῖ, ὐδὲ κινήσει, εἰ μὴ καὶ τὺς τόπυς ἀμείψει· μένει δὲ ἐν τῷ αὐτῷ τόπῳ περιςρεφόμενος, ὔκυν κινήσει ὐδ' ὁπωσῦν τὸ περιέχον, μήτι γε περιοδικῶς, ἀλλοιώσει τῇ καθ' ἑαυτὸν, ἢ

τῇ κατ' ἐκεῖνο. ἀλλ' ἐδ' ἂν ἐπαφῇ μόνῃ κινήσειε τὸ περιέχον ϛρεφόμενος· τὸ γὰρ ἐπαφῇ κινῦν ἢ ἕλξει, ἢ ὤσει, ἢ τῷ συνεχεῖ γίγνεσθαι κινεῖ. ἀλλ' ἕλξει μὲν πῶς κινήσει τὸ περιέχον μένων ἐν τῷ αὐτῷ ὁ ἥλιος ϛρεφόμενος, ἐκεῖνο πάντοθεν περὶ αὐτὸν ὄν; ἀνάγκη ἄρα μεταμείβειν τὲς τόπες, καὶ μὴ τῇ περιϛροφῇ, τῇ δὲ περιόδῳ συγκινεῖν τὸ περιέχον. ὑποτίθεται δὲ μένων καὶ ϛρεφόμενος, ἐδ' ἕτως ἄρα ὁλκῇ κινήσει· ἀλλ' ἐδὲ ὤσει· τὸ γὰρ περιϛρεφόμενον, εἰ περὶ τὴν ἐπαφὴν λείως ἔχει σφαιρικὸν ὄν, ἐ συμπεριάγει τὸ περιέχον· ἐδὲ γὰρ ὠθεῖ. ἀνάγκη ἄρα ἀνώμαλον εἶναι τὰ ἐκτὸς τὸν ἥλιον, καὶ τῇ περιϛροφῇ προσαράσσοντα κατὰ μέρη συγκινεῖν τὸ περὶ αὐτὸν σῶμα. ἀλλ' ἡ τοιαύτη ἄπωσις ἐκ ἂν αἰτιάσαιτο εὔτακτον διόλε κίνησιν τε περιέχοντος, οἷα ὁρᾶται· ἥ τε ὑποτιθεμένη κατὰ τὰ ἐκτὸς ἀνωμαλία τε ἡλιακε σώματος συνεισάγει μίξιν, πρὸς δὲ καὶ σύνθεσιν ἐκ μερῶν ἀνομοίων· τὸ γὰρ τοιῦτον πάθος ἢ ἰδίωμα τῶν ἐξ ἀνομοίων καὶ ἑτεροειδῶν ὡς εἰπεῖν συγκειμένων ἐϛὶν ἡ ἀνωμαλία. καὶ ἐδὲ ἁπλῦν ἄρα σῶμα ὁ ἥλιος, ἐδὲ ἀκραιφνὲς ἢ ἐξ ἀκραιφνεϛάτων, ἐδὲ τέλειον, τοσαύτην ἔχων ἀνωμαλίαν. ἥ τε τοιαύτη ἐκ τῆς προσαράξεως προσγινομένη δίνη τε περιέχοντος τὸν ἥλιον, μὴ συμπεφυκότων ἐν αὐ-

τῷ

τῷ τῶν πλανητῶν τῷ συνεχῇ εἶναι τὰ σώματα, διακοπτομένη κατὰ τὰς ἔξωθεν αὐτῶν ἀνωμαλίας (τοιϑτες γὰρ αὐτοὶ ὑποτιθέασι τὲς πλανήτας, ὅια ἡ γῆ) συγχέοι τὰς ἐκεῖθεν ἕλιξεις, καὶ ἀλληλοπλόκες, καὶ διακοπτομένας τὰς δίνας καὶ συμφθειρομένας τὰς κινήσεις τϑ περιέχοντος ἀπεργάσαιτο, καὶ ἥκιςα διὰ πάντων ἐξίκοιτο ἡ περιςροφὴ ἐκεῖθεν ἐκ τϑ ἡλίϑ, ἐφ᾽ ᾧ κινήσῃ εὐτάκτως τὲς πλανήτας. ὅτι δὲ τῷ συνεχεῖ γίγνεσθαι ἐ κινεῖ τὸ περιέχον ὁ ἥλιος, πρόδηλον· ἐ γὰρ κατ᾽ αὐτὸν τὸ πᾶν πῦρ γίνεται ἀεὶ ςρεφομένϑ καθ᾽ ὑπόθεσιν. εἰ δὲ καὶ ἡ ἀλέα κινεῖ ποτὲ ἐν μέρει ἐπὶ τὸν ἥλιον, ἐπ᾽ εὐθείας μέντοι ἐκθρώσκει ἐν γενέσει ἐπὶ τὸν ἴδιον τόπον τὸ πυρϑμενον, ὡς πρὸς τὸν ἥλιον. εἰ γϑν μὴ τῷ συνεχῆ γίνεσθαι, μήτε ὤσει, μήτε ἕλξει συμπεριάγοι τὸ περιέχον, καὶ σὺν αὐτῷ τὲς πλανήτας, ἐν τῷ αὐτῷ τόπῳ μένων, καὶ περιςρεφόμενος ὁ ἥλιος, ἐδ᾽ ἄρα τὲς πλανήτας κινήτει· κίνησις δ᾽ ἐν πᾶσι τϑτοις νοείσθω ἡ κατὰ τόπον φορά. εἰ δέ τις εἴποι, τϑ ἡλίϑ περιςρεφομένϑ καὶ λείως ἔχοντος, παρολιςθαίνειν ἐπ᾽ αὐτὸν τὸ περιέχον φερόμενον, ὡς ἐπίκεντρον· βαρύτητι ἄρα συγκινεῖται. καὶ εἴπερ ἅπαν συγκινεῖται μέχρι καὶ τῶν ἐσχάτων ἑκάςϑ συςήματος κατ᾽ αὐτὲς, ὅτι πάντες κινεῖσθαι περὶ τὸν ἥλιον ὑπο-

τί-

τίθενται οἱ πλάνητες, καὶ εἴτινες ἄλλοι ὅμοιοι πλάττονται περὶ ἕκαστον τῶν ἀστέρων, συνεχὲς τῇ γῦν ἐπαφῇ, εἴτυν πλῆρες ἐστι τὸ ὅλον σύστημα καὶ βάρυς μετέχον· καὶ τὰ μεταξὺ ἄρα βαρύτερα ἔσαι τῶν πλανητῶν. εἰ γὰρ μὴ ἦν τὰ μεταξὺ βαρύτερα, ὐκ ἂν οἱ πλάνητες ἐπ' αὐτοῖς ἐπωχῦντο. βαρυνόμενοι δὲ θᾶττον ἐπὶ τὸν ἥλιον ἀφίκοντο, τὰ γὰρ κυφότερα ἐποχεῖται· στέγει δὲ ὑπέχοντα τὰ βαρύτερα ἐν ἴσῳ ὄγκῳ, καὶ τὴν πρὸς τὸ κέντρον ἐπέχει φορὰν τῶν κυφοτέρων· καὶ ἐκτοπισθέντα δὲ ἐκ τῆς ἐνέσης αὐτοῖς πλείονος βαρύτητος ἐπισχύει, καὶ τὸν ἐγγύτερον τῦ κέντρυ τόπον αὖθις καταλαμβάνει, ἀπωτέρω τῦ μέσυ τὰ ἡττοβαρῆ ἀπωθῦντα. ἔσαι τοίνυν καὶ ἀὴρ ἐν ἴσοις μεγέθεσι βαρύτερος γῆς καὶ θαλάσσης, καὶ ἁπλῶς εἰπεῖν τὰ φύσει βαρέα ἔσεται κῦφα, καὶ βαρύτερα τὰ κυφότερα, καὶ τὰ μανώτερα στεγανώτερα τῶν πυκνοτέρων καὶ ἀντιτύπων. ἀλλὰ τίς καὶ λεγόντων ταῦτα ἀνάσχοιτο; ὕτως ἄρα πάντοθεν καταῤῥεῖ καὶ διολισθαίνει τὸ καινὸν τῦτο σύστημα.

ΠΟΛΥ΄. Ἀλλ' ἡ ὑπόθεσις τῦ Κοπερνίκυ καὶ εὐληπτοτέρα ἐσι καὶ φυσικωτέρα· εὐληπτοτέρα μὲν, ὅτι ἑρμηνεύει εὐτάκτως τὰς περιόδυς τῶν πλανητῶν, καὶ ὅτι τὰς ταχύτητας τῶν κινήσεων καὶ τὰς δια-

στά-

ςάσεις τῶν κύκλων συμμέτρως ἔχει· φυσικωτέρα δὲ ὅτι ἁπλεςέρα καὶ σύντομος· ἐν παντὶ δὲ ἡ φύσις τὴν συντομωτάτην βαδίζει, καὶ τὸ δὶ ὀλίγων μᾶλλον, ἢ τὸ διὰ πολλῶν αἱρεῖται· ὑπερεκπλαγεῖς γὰρ καὶ ἀπερινόητοι αἱ ταχύτητες περιφερομένων τῶν ἀςέρων, καὶ αἱ διαςάσεις τῶν κατ' αὐτὰς κύκλων· ἄτοπον δὲ καὶ τὸ μὲν ἐλάχιςον ἐν τῷ παντὶ ἠρεμεῖν, τὰ πάντα δὲ ὑπὲρ αὐτὸ κινεῖσθαι· τίνα γὰρ λόγον ἔχει ἡ γῆ πρὸς τὰ τοιαῦτα μεγέθη; ὥςε κρεῖττον ἐςι λέγειν τὴν γῆν κινεῖσθαι, ἢ τὸν ὀρανὸν, τ' αὐτὸν εἰπεῖν τὸν κόσμον ὅλον.

ΚΡΙΤ. Ἀλλ' ὅτοι οἱ λόγοι, λόγοι εἰσὶ χυδαίων καὶ φρονήματα ἀμαθῶν· ὁ μέντοι φιλοσόφων καὶ ἐπιςημόνων ἀνδρῶν, οἵτινες φύσιν καὶ κίνησιν κατέμαθον. τὶς γὰρ κίνησις φυσικωτέρα, ἢ ἡ μᾶλλον ἑκάςῳ προσήκουσα; ἁπλουςέρα δὲ ἐν ἑνὶ ἡ μία τῶν πολλῶν· ἐν δὲ τῇ ὑποθέσει τοῦ Κοπερνίκου τρεῖς κινήσεις ἅμα τῇ γῇ ὑποτίθενται, καὶ ταῦτα τῷ γένει ἕτεραι, καὶ εἴδει ὑπεναντίαι· ἡ γὰρ πρὸς τὰ ἄνω κλίσις τοῦ ἰδίου ἄξονος ὑπεναντία ἐςὶ τῇ πρὸς τὰ κάτω, καὶ ἡ κατὰ περιςροφὴν τῇ περιόδῳ· καὶ ὅλως ἑτέρα τῷ γένει ἡ κατὰ παρέγκλισιν τῆς κύκλου. πῶς δὲ φυσικῶς τὸ τοσαύτην ὕλην ἔχον σῶμα, δὶ ἣν μάλιςα ἀδρανὲς καὶ παθητὸν, αὐτο-

πόθεν κινηθήσεται; ἐ γὰρ τῆς ὕλης, ἀλλὰ τῶν εἰδῶν ἡ κατὰ τόπον φορὰ, καὶ τὰ ἐλάσσονος ὕλης μετέχοντα, τάχιον κινεῖται· νωθείας γὰρ ἡ ὕλη, ἐ κινήσεως αἰτία· πλείων δὲ ἐν γῆ ἡ ὕλη ἢ ἐν παντὶ τῷ αἰθέρι, καὶ τοσέτοις διαςήμασι. τὸ γὰρ μέγεθος ἐ τῆς ὕλης, ἀλλὰ τῦ εἴδυς ἐν ὕλῃ, μέτρον γὰρ ὕλης τὸ εἶδος, ὥςε τὰ κρέιττω τῶν ἁπλῶν σωμάτων εἴδη, ἐν ἐλάσσονι ὕλῃ, καὶ μείζοσι μεγέθεσι παρυσιάζει· καὶ τὰ κράτιςα ἄρα ἐν ἐλαχίςῃ τῇ ὕλῃ καὶ μεγίςοις μεγέθεσι φυσικῶς πάρεςι, καὶ ἀνάπαλιν τὰ χείρω, ἐν πλείονι τῇ ὕλῃ καὶ ἐλλάσσοσι τοῖς μεγέθεσι· τὰ δὲ ἔσχατα ἐν πλείςῃ τῇ ὕλῃ καὶ ἐλαχίςοις μεγέθεσι κατὰ φύσιν διατελεῖ. ἢ ὐχὶ γῆ καὶ ὕδωρ πλείονος μετέχυσιν ὕλης, ἢ ὁ ἀὴρ ἐν τοῖς αὐτοῖς μεγέθεσι; καὶ ἀνάπαλιν ἐν τῇ αὐτῇ ὕλῃ πολλαπλάσια ἔχει τὰ μεγέθη ὁ ἀὴρ, ἢ ἡ γῆ καὶ τὸ ὕδωρ. ὥςε τὸ βραχὺ τῦτο ἡ γῆ, καὶ μικρὸν τῷ μεγέθει, πλείςης μετασχὸν ὕλης, ἀργόν ἐςι καθ' αὑτὸ καὶ παθητὸν φύσει· τὰ δὲ ἐλάσσονος ὕλης μετασχόντα πλείονος εἰκὸς τῆς ἐνεργείας μετέχειν· ἡ μὲν γὰρ ἐνέργεια κατὰ τὸ εἶδος· ἐνέργεια δέ τις καὶ ἡ κατὰ τόπον φορά· ἄρα καὶ τοῖς ἐλάχιςα ὕλης μετασχῦσι, μάλιςα ἡ κατὰ τόπον ταχίςη κίνη-

σις

σις κατάλληλος· τοιαύτη δὲ ἡ τῶν αἰθερίων φύσις. τούτοις γοῦν ἔνεστι φυσικῶς ἡ φορὰ μᾶλλον, καὶ οὐ τῇ γῇ τοσαύτην ὕλην κατασχούσῃ, ὥστε πλεονάζειν παντὸς τοῦ ἐκτὸς σώματος, εἰ καὶ μέγεθος ἐλάχιστον ἔχει· τί γὰρ φυσικώτερον, τὸ οὕτω ἀδρανὲς καὶ νωθρὸν κἂν μικρὸν τῷ μεγέθει, ἢ τὸν αἰθέρα ἐλάσσονος μὲν ὕλης ἐν τοσούτοις διαστήμασιν, εἴδους δὲ κρείσσονος καὶ ἐνεργοῦ λαχόντα ἀκονιτὶ φέρεσθαι; ὡς δ' ἀργαλέον ἐστὶ τῇ φύσει τὸ μικρὸν τοῦτο σῶμα τὴν γῆν κινεῖν καὶ ταῦτα περιοδικῶς καὶ πολυτρόπως, ἢ τὰ τοσαῦτα σώματα, ἐλαχίστης μέντοι μετέχοντα ὕλης, εἴδους δὲ ἐνεργοῦ καὶ δραστηρίου λαχόντα· οὐδὲ γὰρ πολυειδής ἐστὶ τῶν αἰθερίων ἡ κίνησις κυκλικὴ οὖσα, καὶ ποικιλομένη τὴν κατὰ φύσιν ἁπλότητα οὐ διόλλυσιν, ἀλλὰ τὴν γένεσιν ἐν τοῖς ὑπ' αὐτὸν ἐπαιτιᾶται, τῶν χειρόνων τὴν νωθείαν ἐν μέρει ἀπωθοῦσα· τοσαύτη γὰρ παρ' ἡμῖν ἐν τῇ γῇ ἡ νωθεία, ὥστε καὶ τοσούτων φορῶν γενομένων ὕπερθεν ἐπιστερχόντων τῶν αἰθερίων, ὑπομένει ἔμπης τὸ πλεῖστον κατέχουσα· εἰδὲ καὶ ὀξέως ἄγαν περιτρέχει τὰ μακρὰ διαστήματα ὁ αἰθήρ, οὐ διεκπονεῖ ὕλης ἐλαχίστης μετασχών, καὶ ἐγγὺς ἀκράτου ἐντελεχείας περιιών, καὶ ἡμῖν αὐτόχρημα ἐντελέχεια γιγνόμε-

με-

μενος· ἀλλὰ ταῦτα μὲν βαθυτέρας ἐςὶ θεωρίας, καὶ τελεωτέρας γνωςικῆς ἕξεως.

ΠΟΛΥ. Ἔγνων δὴ καὶ πέπεισμαι, ὡς ψευδές καὶ ἀσύςατον τὸ πολύκροτον τετὶ τε Κοπερνίκε σύςημα, καὶ τετο κατέγνων· δοκεσι δέ μοι οἱ νῦν ἀςρονόμοι, ἕιτινες τετο πρεσβεύεσι, ταὐτὰ πάσχειν τοῖς ἀςρολόγοις. ὑποθέμενοι γὰρ ἑκάτεροι ψευδῆ, καὶ ταῦτα ὡς ἀρχὰς βεβαίας καὶ αὐτοπίςες παραδεξάμενοι, καὶ ἑξῆς ἐπὶ τὰ ἑπόμενα ἐπιδόντες, καὶ τέτοις παραλόγως ὑπαχθέντες, μεγάλ᾽ ἄττα καὶ τοῖς πολλοῖς ἄοπτα καὶ ἀθέατα καταμαθεῖν οἰηθέντες, καὶ ὑπερφερῆ τινὰ ἐπιςήμην κατασχεῖν ἡγησάμενοι, ἐκ αἰδενται προφανῶς καταψευδόμενοι, συνείροντες ἐξ ἀτόπων παραλογώτερα, καὶ ἐξ ἀλόγων ἀτοπώτερα, καὶ τῆς σφῶν αὐτῶν μωρίας μὴ ἐπαισθόμενοι· ἀλλὰ πόθεν εἰς τεθ᾽ ἥκει παρενεχθεὶς ὁ Κοπέρνικος;

ΚΡΙΤ. Ἐρῶ σοι ἔγωγε· τὴν σπειροειδῆ κίνησιν τῶν δύο πλανητῶν Ἑρμε καὶ Ἀφροδίτης (καλῶ δὲ σπειροειδῆ τὴν ἡμερονύχθιον καθ᾽ ἑκάςην περὶ ἡμᾶς σὺν τῷ ἐρανῷ ἕλιξιν) ἐξομαλίσαι βελόμενος ὁ Κοπέρνικος, δυσχεράνας τοῖς ἐπικύκλοις τε Πτολεμαίε, καὶ ἰδίαν ταύτην δὴ προςησάμενος τὴν ὑπόθεσιν, καὶ γλαφυρῶς ἐπιξέσας, παρέδωκε καὶ τοῖς ἄλ-

λοις

λοις τὴν εὐμάρειαν τῶν λεγομένων προελομένοις ἢ τὴν ἀλήθειαν. Ἐντεῦθεν ἓν ἀκρίτως περιθρυῦσα ἐν κενωτέροις ὥστι ἐπὶ τὲς πολλὲς ἦλθε, καὶ τὸ χεῖρον ἀπέτεκεν ἐν κεναῖς φρεσὶ τῶν ἀσυςάτων μύθων τερατωδέςερα, κόσμες ἀπείρες, καὶ φύσεως ἄλλης ἀλλόκοτα ζῶα τῶν Ἱπποκενταύρων, καὶ τραγελάφων ἀνυπαρκτότερα.

# ΔΙΆΛΟΓΟΣ Β́.

*Ἡλίȣ καὶ ἀςέρων μὴ κινȣμένων, καὶ ὅλως τȣ̃ αἰθέρος ἀτρεμȣ̃ντος, φθείροιτο ἂν ὁ περικαλλὴς τῶν τοσȣ́των περὶ τὴν γῆν εἰδῶν κόσμος.*

# ΔΙΑ'ΛΟΓΟΣ. Β'.

## Παλαίφατος ϗ Εὐθύφρων.

ΠΑΛΑΙ'Φ. Καὶ ἡ γῆ καὶ ὁ ἥλιος κινεῖται· ἀλλ' ἡ μὲν γῆ περὶ τὸν ἑαυτῆς ἄξονα, ὁ δὲ ἥλιος περὶ τὸν ἴδιον μόνον ἄξονα.

ΕΥ'ΘΥ'Φ. Α'λλ' ἀφ' ἑαυτῶν ταῦτα δρᾷ, ἢ ὑφ' ἑτέρων πάσχει;

ΠΑΛΑΙ'Φ. Υ'φ' ἑαυτῶν πάντως.

ΕΥ'ΘΥ'Φ. Κατὰ φύσιν ἄρα ἑκατέρῳ ἡ κύκλῳ φορά.

ΠΑΛΑΙ'Φ. Μενοῦνγε.

ΕΥ'ΘΥ'Φ. Ε'πεὶ γοῦν κατὰ φύσιν, ἢ κατὰ τὸ εἶδος ἢ κατὰ τὴν ὕλην τούτοις προσήκει κύκλῳ φέρεσθαι. εἰμὲν οὖν κατὰ τὸ εἶδος, ὁμοειδὴς ἐστὶν ἡ γῆ τῷ ἡλίῳ, καὶ τῆς αὐτῆς φύσεως· ὅπερ οὐδεὶς ἂν ἀποδέξαιτο. εἰδὲ κατὰ τὴν ὕλην, ἡ δὲ ὕλη κοινὴ πᾶσι,

πάντα

πάντα ἄρα κατὰ φύσιν κύκλῳ κινεῖται στρεφόμενα, καὶ ἓν εἶδος κινήσεως ἔσται ἐν τῷ παντὶ ἡ κύκλῳ φορά.

ΠΑΛΑΙΦ. Ἀλλ' ἔχει καὶ τὰ εἴδη φοράς.

ΕΥΘΥΦ. Ποτέραν οὖν τὴν αὐτὴν τῇ ὕλῃ, ἢ ἑτέραν; εἰ μὲν τὴν αὐτὴν, ἐπεὶ ἡ ὕλη κοινὴ, ἔσται αὖθις καὶ ἡ αὐτὴ κίνησις ἐν πᾶσι· καὶ ἡ ἐπ' εὐθείας, ἢ κύκλῳ ἔστι πάντων· εἰδὲ ἑτέραν, τὰ μὲν ὁμοειδῆ ἕξουσι τὴν αὐτὴν, ὅτι ἐκ τοῦ εἴδους ἡ κίνησις· ἑτέραν δὲ τὰ ἑτεροειδῆ· ὥστε τὰ τὴν αὐτὴν ἔχοντα κίνησιν ἔσται ὁμοειδῆ, καὶ τὰ μὴ τὴν αὐτὴν, ἑτεροειδῆ. Ἐπεὶ οὖν ὁ ἥλιος καὶ ἡ γῆ ὑποτίθενται ἔχειν τὴν αὐτὴν κίνησιν· ἄμφω γὰρ κύκλῳ φέρεσθαι ὑπέθου, ἔσονται ταῦτα ὁμοειδῆ, οὗ τί ἂν λέγοιτο ἀτοπώτερον;

ΠΑΛΑΙΦ. Καὶ λίαν ἄγχεις κατασκελετεύων τὴν φύσιν· ἕκαστον γὰρ πολλὰς ἔχει κινήσεις. ἰδοὺ γὰρ ἐγὼ κινῶ τὴν χεῖρα πολυτρόπως.

ΕΥΘΥΦ. Σὺ δὲ σφόδρα ἁδρύνων καὶ συγκινῶν ἀνατρέπεις τὴν φύσιν. εἰ γὰρ ἕκαστον πολλὰς ἔχει κινήσεις, καὶ ἥλιος ἄρα καὶ γῆ· ὥστε καὶ τὴν ἐπ' εὐθείας αἰσθήσεται ἑκάτερον· ποῦ δὲ εἶναι πεπηγότα τὰ κέντρα, καὶ αἱ περὶ ταῦτα στροφαὶ καὶ περιοδεύσεις;

ΠΑΛΑΙΦ. Ἀλλ' ὁλικῶς οὐδέτερον τὴν ἐπ' εὐθείας κινεῖται κίνησιν· κατὰ μέρη δὲ ἑκάτερον.

ΕΥ-

ΕΥΘΥΦ. Πότερον κατὰ φύσιν ἐςι τῶν μερῶν ἡ ἐπ' εὐθείας κίνησις, ἢ βιαία. εἰ μὲν γὰρ κατὰ φύσιν, ἔςαι καὶ τῷ ὅλῳ κατὰ φύσιν· τὸ γὰρ ὅλον ἐκ τῶν μερῶν ἁπάντων. εἰ δὲ βιαία πόθεν προσγίνεται;

ΠΑΛΑΙΦ. Κατὰ φύσιν μὲν, ἀλλ' ὀκ ἐξ ἑαυτῶν, ἀμοιβαδὸν δὲ ἐξ ἀλλήλων.

ΕΥΘΥΦ. Ἀλλ' εἴγε κατὰ μέρη συγκινεῖ ἐπ' εὐθείας ἄλληλα, συγκινήσει καὶ καθ' ὅλα, καὶ αὖθις ἐ ςάσις, ὀδὲ κέντρα, ὀδὲ περιφορὰ, ἀλλὰ συγκλύδων ἔςαι καὶ συρμός.

ΠΑΛΑΙΦ. Ἀλλ' ὥριςαι ἕκαςον ἐν τῇ φύσει· καὶ αἱ δυνάμεις γῦν. ὥςε κινεῖ ἐν μέρει ἐπ' εὐθείας ἑκάτερον· ὁλικῶς μέν τοι κινεῖν ὀκ ἔχει.

ΕΥΘΥΦ. Ὁ δ' ὅρος τίς ἂν γένοιτο, ἢ τῷ μὴ πεφυκέναι τἄλλα κινεῖσθαι ὅλως, ἢ τῷ ἀντιδρᾷν τὰ κινόμενα καὶ κωλύειν καὶ ἀφαιρεῖν καὶ ἐλαττῦν τὴν ἐνέργειαν τῦ κινῦντος; ἐὰν ὖν τὸ πρῶτον ᾖ, ἐξ ἑτεροφυῶν συγκείμενον ἔςαι ἑκάτερον; καὶ ὁ ἥλιος ἄρα σύνθετος. εἰδὲ τὸ δεύτερον, ἀντιβαίνει δηλονότι τὰ κινόμενα, ἔςαι παρ' ἑκάτερα ἀποπεφυκότα πάντα τὰ μέρη κινεῖσθαι ἐπ' εὐθείας καθ' αὑτὰ, ὅτι ἀντιδρᾷ τοῖς κινῦσι τοιῶς δε· καὶ ὀδὲ κατὰ φύσιν ἄρα κινεῖται, ἀμοιβαδὸν ὅτω κινόμενα ἐπ' εὐθείας.

ΠΑΛΑΙΦ. Ἀλλ' ὐχ ὕτω κατὰ φύσιν κινεῖται γῆ καὶ ὕδωρ μετεωριζόμενα, καὶ πῦρ ἄνω φερόμενον;

ΕΥΘΥΦ. Ἀλλ' ὐ κινεῖται ἡ γῆ καὶ τὸ ὕδωρ ἄνω, ὡς γῆ καὶ ὕδωρ, ἀλλ' ἐν γενέσει μεταβάλλον τὸ ὕδωρ εἰς ἀέρα, σπεύδει ἐπὶ τὸν ἐκείνυ τόπον διαχεόμενον ἄνω· καὶ πάλιν ὕδωρ γενόμενον καταφέρεται τὸν ἴδιον τόπον καταλαβεῖν. ὕτω τοι καὶ τὸ γεῶδες πυρωθὲν ἄνω θέει· εἰδὲ καί ποτε τὸ πῦρ κάτεισι, βίᾳ φέρεται: ἀεὶ γὰρ ἡ φορὰ τῶν μερῶν ἐν γενέσει τοῖς ὑπὸ σελήνην κατὰ φύσιν· οἱ δὲ ὅροι τῆς κινήσεως αὐτὰ εἰσι τὰ ὅλα, ἐξ ὧν καὶ καθ' ἃ ἕκαςα γίνεται. ὥςε εἰ ἐςὶν ἐν πᾶσιν ἀμοιβαδὸν κἂν κατὰ μέρη ἡ κίνησις, ἔςαι ἀμοιβαδὸν ἐκ πάντων καὶ κατὰ πάντα γένεσις· ὥςε καὶ ἐκ γῆς ἥλιος, καὶ ἐξ ἡλίυ γῆ· καὶ ὐ διώριςαι τὸ ἐνεργῦν ἐν τῇ φύσει καὶ πάσχον· ἀλλὰ πάντα φύρδην μέμικται καὶ συγκέχυται· καὶ τὰ τυχόντα γίνεται ὡς ἔτυχε, καὶ τὰ αὐτὰ ἐξ ἄλλων καὶ ἄλλων· καὶ ἐκ τῶν αὐτῶν ἄλλα καὶ ἄλλα εἴδει καὶ φύσει ἕτερα. ὁρᾷς ὖν εἰς οἷον ἐμπέπτωκας χάος, τὰ πάντα ἑλόμενος συγκινεῖν;

ΠΑΛΑΙΦ. Ἀλλὰ πῶς ὐκ ἔςι τῶν μερῶν τῆς γῆς καὶ τῦ ὕδατος ἐπ' εὐθείας κίνησις μὴ ἐν γενέσει ὄντων; ἐὰν γὰρ λίθον ἀφήσω, φύσει κάτεισιν ἐπ' εὐθείας, ὁμοίως καὶ ὕδωρ;

ΕΥ-

ΕΥΘΥΦ. Φύσει ἡ φορὰ τῶν μερῶν τῆς γῆς καὶ τȣ̃ ὕδατος ἐν τῇ μεταβολῇ ἐπιγίνεται, καὶ κατὰ τὸ ἐπισχὸν εἶδος, καὶ ἑπομένως κατὰ φύσιν· ȣ̓δὲ γὰρ μένει ἔτι ὕδωρ τὸ ἄνω φερόμενον ὕδωρ, ὅτι εἰς ἀέρα μεταβάλλει μετεωριζόμενον, καὶ ὑδατȣ́μενον αὖθις κάτεισι· καὶ ἀεὶ τὸ ἐπισχὸν εἶδος κρατεῖ, καὶ πρὸς τὸ ὅλον φέρει. ἑνοποιȣ̃ν γὰρ τὸ εἶδος ἑκάςȣ, καὶ ἐν τῇ ἑνώσει τȣ̃ ὅλȣ τελείως εἰδοποιεῖται, καὶ φυσικῶς μένει, καὶ μεταβάλλει, ὅσον ἀποδιΐςαται τȣ̃ ὅλȣ, καὶ τȣ̃ ἐπικρατȣ̃ντος γίνεται, ὅσον ἐγγὺς, πρὸς ὃ σπεύδει. ὥςε καὶ γῆς καὶ ὕδατος τὰ μέρη ἐν τῷ ὅλῳ τελειȣ̃ται, καὶ ἠρεμεῖ, καὶ πρὸς τȣ̃το σπεύδει, καὶ φυσικῶς φέρεται· διὸ καὶ ἀποσπασθέντα εἴποτε ἀφεθῇ, φέρεται ἐπ᾽ εὐθείας· ὅτι ἄλλην φορὰν φύσει ȣ̓κ ἔχει· τȣ̃ γὰρ ὅλȣ οἱονεὶ εἴδȣς ἐρᾷ, καὶ ἀποσπασθὲν, ὡς πρὸς ὅρον τὸ ὅλον, ὃ ἔχει ἐκτὸς, καθ᾽ αὐτὸ θέει, οἱονεὶ ἐν γενέσει· μιμεῖται γὰρ ἡ μεταβολὴ οἷα δήποτε τὴν γένεσιν· διὸ καὶ ἡ ἁπλῶς μεταβολὴ γένεσις, καὶ ἡ κυρίως γένεσις μεταβολή. Τὸ γȣ̃ν παθητὸν σῶμα, λέγω δὴ γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ πῦρ ἀλήκτως μεταβαλλόμενον, ᾗ μεταβάλλει, ἄνω καὶ κάτω φέρεται ἐπ᾽ εὐθείας· τῇ δὲ ἀντωθήσει καὶ ἀντιπλήξει καὶ παντοίᾳ προσπτώσει, πολλάκις συςρέφεται καὶ δινȣ̃ται· ταὐ-

τῇ δὲ τῇ ἰδιότητι καὶ συμμιγέντα, αὖθις ἀπ' ἀλλήλων διαχωρεῖ ἀλλοιωθέντα. εἰδέποτε βίᾳ ἀποσπασθῇ τι τῶν ὅλων, ἀπολυόμενον φέρεται πρὸς αὐτὸ ἐπ' εὐθείας, ἵνα τὸν ἴδιον καταλάβῃ τόπον· ὥρισαι γὰρ ἐκ φύσεως τῶν ἁπλῶν σωμάτων ἑκάστω τόπος κατὰ μέγεθος προσήκων τῷ εἴδει ἐν ἴσῃ τῇ ὕλῃ. γῆς γοῦν χῶρος εὐθὺς περὶ τὸ κέντρον, ὅτι ἐν μείζονι ὕλῃ ἐλαχίσῃ μεγέθει· ὕδωρ δ' ἐπ' αὐτὴν, καὶ ἀὴρ ἐπ' ἀμφοῖν, καὶ πῦρ περὶ αὐτὸν, κατὰ μέγεθος ἀνάλογον τῷ εἴδει ἑκάςῳ. ὥςε ἐφεξῆς τὸ ὑπερκείμενον τοῦ ὑποκειμένου μεῖζον εἶναι τῷ ὄγκῳ εἴτουν τοῖς διαςήμασι. ὥσπερ γάρ τις εὐθεῖα κατὰ θάτερον ἠρεμοῦσα, εἰ νοηθῇ ἐν διαφόροις εἴδεσι κεχρωσμένη, περιαγομένη δὲ κατὰ θάτερον, ἐναλλήλους μὲν περιγράφει τοὺς κύκλους, ἀνίσους δὲ παριςᾷ τοὺς ἐν ἀπειλημμένους χώρους, κἂν ἐν ἴσοις τοῖς διαςήμασιν ᾖ μεμερισμένη· καὶ μείζονας μὲν τοὺς ἀπωτέρω τοῦ κέντρου, ἐλάσσονας δὲ τοὺς πέλας, οὕτω τοι καὶ σφαῖρα ἐντὸς διακρινομένη, παραπλησίας τὰς ἐμπεριεχομένας συνέχει σφαίρας. κατὰ ταῦτα οὖν, ἀλλὰ καὶ ἀνισοτέροις τοῖς ἀπὸ κέντρου διαςήμασι, καὶ οἱ τόποι τῶν ἁπλῶν σωμάτων, καὶ αὐτὰ ταῦτα τὰ σώματα ἀναμεμέρισαι. καὶ τὰ ἐντὸς οὐρανῶν διαςήματα κατέλαβε, καὶ ἐπλήρωσεν· ὥςε τὰ ἐν ἴσῃ τῇ ὕλῃ ἐλάσσονα τῷ μεγέθει,

τὸν

τὸν ἐγγύτερον χῶρον τῦ κέντρυ ἐλάσσονα ὄντα καταλαβεῖν· καὶ τὰ μείζονα τῷ μεγέθει τὸν ἀπώτερον τῦ κέντρυ μείζονα ὄντα. μεταβαλλόμενα δὲ ἐν μέρει διαθέει, ὥσπερ τὴν φύσιν, ὕτω τι καὶ τὸν τόπον ἀμείβοντα. ἔςι γῦν κοινὴ ἡ ἰδιότης αὕτη, καὶ ἐν παντὶ μέρει, ἀλλ᾽ ἐν ἀλλοιώσει· διὸ καὶ τῷ παθητῷ σώματι τὴν ἐπ᾽ εὐθείας φοράν κοινὴν καὶ κατὰ φύσιν λογιζόμεθα· κοινὴν μὲν, ὅτι παντὶ ἀλλοιυμένῳ μέρει ἐπακολυθεῖ· κατὰ φύσινδὲ, ὅτι κατὰ τὸ ἐπικρατῦν εἶδος τῷ μεταβάλλοντι ἐπακολυθεῖ.

ΠΑΛΑΙΦ. Ὀρθῶς εἴρηκας, καὶ σαφῶς ἐξέθυ, ἐκ τῶν γνωρίμων τήν τε φύσιν τῶν ἐγγὺς ἡμῖν σωμάτων, καὶ τὴν φοράν· ἐξ ὧν δῆλον ὅτι κατὰ φύσιν τῶν μερῶν ἀεί ἐν γενέσει ἡ φορὰ ἐπ᾽ εὐθείας· καὶ ᾗ ἀλλοιῦται ἕκαςα φέρεται· πέφυκε δὲ πάντα ἀλλοιῦσθαι ἐν μέρει, καὶ φέρεσθαι ἄρα ἐπίσης. ἀλλὰ τίνος ἕνεκα μέχρι σελήνης προϊὼν ἵςᾳς καὶ ὁρίζεις ἐκεῖ ταύτην τὴν ἀλλοίωσιν καὶ φοράν; ἐμοὶ γὰρ δοκεῖ δι᾽ ὅλυ διήκειν τῦ παντὸς ἑκάτερον· πάντα γὰρ ἐν ῥοῇ. τῦτο γὰρ καὶ Δημόκριτος καὶ ἄλλοι εἰσηγήσαντο, καὶ πρὸ τύτων Ἡσίοδος καὶ Ὅμηρος, καὶ ἡ ἀρχαιοτάτη πᾶσα αἰνιγματικὴ σοφία· ἐκ γὰρ τῆς Ῥέας καὶ τῦ Κρόνυ τὰ πάντα γεννᾷ.

ΕΥΘΥΦ. Ἐπεὶ γὰρ τὸ ὑπὸ σελήνην ἅπαν σῶμα παθητὸν καὶ τρεπτὸν καὶ ἀλλοιωτὸν ἐςιν, ἀνάγκη πάντως καί τι ὑπερκείμενον ἐν ὕλῃ εἶναι ἐνεργῦν, καὶ ἄτρεπτον ἐκ φύσεως κατὰ τὸ εἶδος μένειν. ἐὰν γὰρ τὰ πάντα ἐνεργεῖν καὶ πάσχειν ἀμοιβαδὸν ὑποθῶμεν, ὔτε τὰ αὐτὰ διαμενεῖ ὑπάρχοντα, ὔτε γενήσεται ἐπίσης τὰ γιγνόμενα· διηνεκὴς δὲ καὶ ἔξαλλος ἔςαι γένεσις καὶ φθορὰ ἀλλοκότως, ἀεὶ καὶ ἀεὶ παρατρεπομένων τῶν τε ἐνεργύντων καὶ τῶν παθητῶν· ἀλλ' ὥριςαι ἐν τῇ φύσει ἥ τε γένεσις καὶ ἡ φθορὰ, καὶ ἡ διαμονὴ τῶν ὑπαρχόντων· ἐξ ἀνάγκης ἄρα παροπηδεῖ ὡρισμένα εἶναι ἐν τῷ παντὶ τά τε ἐνεργῦντα καὶ πάσχοντα ὁλικῶς καὶ ἐν μέρει, ἵνα τὰ μὲν ἐνεργῇ πῇ, ὑπ' ἐκείνων πάσχοντα, τὰ δὲ ἐνεργῇ ἁπλῶς, μηδαμῶς ὑπ' ἐκείνων πάσχοντα· καὶ τὰ μὲν πάσχειν πῇ πρὸς ἐκεῖνα ἐνεργῦντα, τὰ δὲ πάσχειν ἁπλῶς πρὸς ἐκεῖνα μηδόλως ἐνεργῦντα· ὁλικῶς ὖν τῶν ἁπλῶς ἐνεργύντων πρὸς τὰ ἁπλῶς ὑπ' αὐτῦ πάσχοντα ὁ ἀῤῥαγὴς τῆς φύσεως ὅρος, ὗτος ἐςιν ὁ θεσπέσιος τῦ ὐρανῦ βηλὸς, τὸ ἄβατον τῶν ἐν γενέσει μεταίχμιον, ὁ ὑπὸ σελήνην τόπος, τὸ ἄνω ςερέωμα τὸ διατειχίζον τῶν ἁπλῶς παθητῶν τὰ ἁπλῶς ἐνεργὰ καὶ δραςήρια, καὶ τὰ διαμένοντα

ἐν τῇ ὕλῃ τῶν γεννητῶν καὶ φθαρτῶν· ἢ πȣ̃ ἄλλοθι τȣ̃τον τὸν ὅρον θήσομεν.

ΠΑΛΑΙΦ. Βαβαὶ, ὡς ὡραῖος ὁ λόγος· ἀλλὰ πόθεν δῆλον, ὅτι πρὸς τῇ σελήνῃ ὥρισαι τὸ ἄβατον τȣ̃το τῆς γενέσεως μεταίχμιον, καὶ τὰ ἀνωτέρω πάντα μεταβολῆς ἀπήλλακται; τοσȣ̃τοι γὰρ κομῆται ὁρῶνται ὑπερφερόμενοι καὶ καταπιμπράμενοι, καὶ τοσȣ̃τοι ἀςέρες γεννῶνται καὶ φθείρονται.

ΕΥΘΥΦ. Οὔτε κομῆται, ȣ̃τε ἀςέρες φαινόμενοι ὑπὲρ τὴν σελήνην γεννῶνται, ȣ̃τε ὠράθησαν τοιαῦτα γεννώμενα καὶ φθίνοντα ὑπερκείμενα ταύτης πώποτε. συςήματα δὲ ὑπερμεγέθη καὶ ὀγκώδη εἰσὶν ἐκ πυκνωτέρας καὶ ἀπεπτȣ ἀναθυμιάσεως συνιςάμενα καὶ αὖθις λυόμενα ἐν τῷ ὑπὸ σελήνην σώματι, ὅπερ πῦρ μὲν ὀνομάζομεν λεπτομερέςερον ὂν καὶ ξηρότερον τȣ̃ ἀέρος, ȣ̓ μέντοι κατὰ τὸ διακονικὸν τȣτὶ καὶ πρόσυλον κεχρωσμένον, ἀλλὰ διαφανὲς καὶ μανώτερον

ΠΑΛΑΙΦ. Ὅτι μὲν ȣ̓ γεννῶνται ȣ̓δὲ ὅλως φθείρονται σύμφημι, ἀλλοιȣ̃νται μέντοι κατὰ μέρη πιμπράμενοι, ὡς καὶ καθορῶνται, καὶ αὖθις πληρȣ̃νται, καὶ ὡς εἰπεῖν κατὰ μέρη φθείρονται, καὶ γίνονται· διαθέȣσι δὲ ὑπὲρ τὴν σελήνην, καὶ τὰς

πε-

περιόδυς ὐκ ἀκριβεῖς κατὰ κύκλον, ὡρισμένας ἀλλ' ὐν ἔχυσι κατὰ χρόνον· ἢ ὐχὶ ταῦτα ὕτως ἔχει;

ΕΥΘΥΦ. Ὅτι μὲν ὡρισμένυς ἔχυσι τὺς χρόνυς τῆς συςάσεως αὐτῶν ἐν τῇ φύσει, ὁμολογῶ· πᾶν γὰρ τὸ γινόμενον ἐν τῇ φύσει χρόνῳ ὥρισαι. ὅτι δὲ καὶ πρὸ τῆς ἐξάψεως αὐτῶν καθορῶνται ἐν τηλεσκοπίοις συνομολογῶ· τὸ γὰρ διαφανὲς μετασχὸν πως ἀχλύος καὶ ἀντιτυπίας, διακέκριται τῦ καθαρῦ τοῖς ἀκριβῶς σκοπῦσιν. ὅτι δὲ καὶ ἐν ὄγκοις μεγάλοις, ὁμοίοις τοῖς μεγέθεσι κατὰ γῆν τε καὶ θάλασσαν ἐνοπτάνονται, ὐδὲν ἀπεικός· τοσαῦτα γὰρ ἐκεῖ τὰ διαςήματα, ὅσα μυρίας ἂν γαίας συσχοῖεν· ὅτι δὲ ὑπὲρ σελήνην ὡράθη τις διατρέχων, τῦτο ἐξ ὑποθέσεως, ὐκ ἀκριβῦς δὲ παρατηρήσεως λέλεκται· ὁ γὰρ ἐπὶ τὸν ὄγκον αὐτῶν ἐκπλαγεὶς, καὶ προοδεύοντας τῆς ἐξάψεως θεασάμενος, ὑποθεὶς τύτυς περιοδεύοντας, καὶ τῆς περιόδυ τόπον μὴ ἔχων, ἀπέωσεν εἰς ὕψος συγκρίψας, ἵνα καὶ τὸν χρόνον αὖθις τῆς ἐπανόδυ ὁρίσῃ, καὶ συγκάμψῃ αὖθις ἐπὶ τὸν ἥλιον, καὶ πεινῶντα τυχὸν διαθρέψῃ· ὕτω γὰρ καὶ ἀπατᾶν τινες ἑαυτὺς εἵλοντο τῦ δοκεῖν τι καινὸν λέγειν.

ΠΑΛΑΙΦ. Ἀλλ' οἱ νῦν ἀςρονόμοι ταύτην τὴν ὑπόθεσιν πάντες ἀποδέχονται.

ΕΥ-

ΕΥΘΥΦ. Ὅσοι ἐκ ἀκριβῦσι τὰς ὑποθέσεις, ἐδὲ τα λεγόμενα βασανίζυσιν ὡς λέγεται· τί γὰρ τέτυς φρονεῖν ταῦτα ἔπεισεν; ὁ ὄγκος; ἀλλὰ πῶς ἐ συνεπελογίσαντο τῶν ἄνω διαςημάτων τὰς χώρας; πῶς δὲ καὶ τὸ διαφανὲς ἐκεῖ τῆς φύσεως ἐ κατενόησαν, ὅτι συλλαβὸν κἂν μικρὰν ὕλην, ἀχλὺν περιέτχεν, καὶ σῶμά ἄλλοτι ἔδοξε; πῶς δὲ ἐπὶ τὴν γένεσιν αὐτῶν ἐ προσέσχον ἀεὶ παρὰ θάτερα τῶν τροπικῶν ἦσαν; ἔνθα γὰρ ἡ ἀπόκρισις μᾶλλον τῦ ὑπεκκαύματος, ἐκεῖθεν ταῦτα ὁρῶνται ἐρχόμενα. πῶς δὲ ἐπὶ τὴν διάλυσιν ἐκ ἐπεςήσαντο; ἔνθα γὰρ μάλιςα ἡ διάκρισις τῦ παθητῦ ὑπὸ σελήνην σώματος τῇ ὀξύτητι τῦ αἰθέρος, ἐκεῖ τῶν κομητῶν ἡ διάλυσις· ἀλλὰ προεῖπον, εἴτινες καὶ προεῖπον, καὶ τὸν χρόνον ἐξεῦρον αὐτῶν τῆς ἐλεύσεως· ἀλλ' εἴπερ γὰρ προεῖπον, εὗρον εἰκὸς τὸν χρόνον αὐτῶν τῆς συςάσεως· καὶ εἰ ὁρῶσι πρὶν τῆς ἐξάψεως, ἐκ ἐξερχομένες ἐκ τῶν ἀδύτων κόλπων τῦ ἐρανῦ, ἀλλὰ συςάντας ἐκ τῆς ἀλήκτυ φορᾶς, καὶ μεταβολῆς τῦ παθητῦ σώματος, ὑπὸ τὸν ἐρανὸν καθορῶσιν, ὡς καὶ ὕςερον αὐτῶν τήν τε ἔξαψιν καὶ διάλυσιν ἐν αὐταῖς ὁρῶσι ταῖς ὄψεσι· τὰ γῦν μέτρα τῶν χρόνων, μέτρα αὐτῶν τῆς συςάσεως καὶ γενέσεως, ὡς καὶ τῆς πυρώσεως αὖθις καὶ διαλύσεως.

ΠΑ-

ΠΑΛΑΙΦ. Ἀλλὰ κομῆται καὶ ἀςέρες φθίνοντες, καὶ τἄλλα τὰ φαινόμενα κατ' ὐρανὸν ἀμφιλεγόμενα, ἐάσθωσαν ἤδη· συνῆκα γὰρ καὶ τὸν ἀντιπίπτοντα λόγον ἐκ ἀσθενῆ· δοκῶ δὲ λέγειν καὶ κράτιςον. ἀλλὰ πόθεν ἄλλοθεν δεικνύεις καὶ συνιςᾶς ὑπὸ σελήνην τὸν ὅρον τῆς γενέσεως καὶ μεταβολῆς· κἀκεῖ τίθης ἄβατον τὸν βηλὸν, καὶ ἀδήριτα φθορᾷ τὰ ἐπέκεινα;

ΕΥΘΥΦ. Πρῶτον μὲν ἐκ τῶν περιγιγνομένων περὶ ἡμᾶς ἐκεῖθεν μεταβολῶν· πρόδηλοι γὰρ καὶ τῆς σελήνης αἱ πρὸς ἡμᾶς ἐνέργειαι. δεύτερον δὲ ἐκ τῶν μὴ φαινομένων ἐπέκεινα παθῶν ἐξ ἀλλοιώσεως· εἰ γὰρ ἦν κἀκεῖ γένεσις καὶ φθορὰ, πολλὰ ἂν καὶ κατ' ἐκεῖνα ἐφαίνετο πάθη.

ΠΑΛΑΙΦ. Ἀλλὰ πῶς ἡ σελήνη ἐ πάσχει ἀλλοιεμένη, καὶ πρόσωπα ἀμείβεσα;

ΕΥΘΥΦ. Ἥκιςα· ἐ γὰρ καθ' ἑαυτήν τι πάσχει, ἐδ' ἀλλοιἔται· τῇ δὲ συναυγείᾳ τε ἡλίε τὴν πρὸς ἡμᾶς ἐνέργειαν ἐπιῤῥώννυται· ἀντιπέμπει γὰρ τὸ ἐκεῖθεν φῶς, καὶ διακονεῖ τῷ ἡλίῳ ἐπὶ τὴν περίγειον λῆξιν ἀλλοίως ἐπαυγάζεσα· ἐδὲ γὰρ χρήζει αὕτη ἀλέας, ἐδὲ φωτισμἔ, διαυγὴς ἔσα.

ΠΑΛΑΙΦ. Καὶ πῶς; ἐκ ἔςιν ἡ σελήνη ζοφερὸν καὶ ἀντίτυπον σῶμα οἷον ἡ γῆ;

ΕΥΘΥΦ. Οὔμενἔν.

ΠΑΛΑΙ'Φ. Καὶ πόθεν δῆλον;

ΕΥ'ΘΥ'Φ. Καὶ ἐξ αὐτῆς τῆς θέας· ἡ γὰρ θέα τῆς σελήνης μικρὸν παραλλάσσει τȢ ἀνάϛρȢ αἰθέρος, καθότι πυκνότερον τὸ ἐκείνης σῶμα καὶ Ȣ διαφανὲς κατὰ τὸν αἰθέρα.

ΠΑΛΑΙ'Φ. Α'λλ' Ȣ̓́τε φωτεινὸν κατὰ τὰ ἄλλα ἐν τῷ αἰθέρι σώματα.

ΕΥ'ΘΥ'Φ. Καὶ εἰκότως. ἔσχατον γὰρ καὶ παρὰ τὸ ὑπέκκαυμα· διὸ καὶ τῆς ἐγγύθεν μετέσχεν ἀχλύος, καὶ τῆς ἄνωθεν συνέσχεν αὐγῆς· τὸ γὰρ κυανȢ̃ν ἠρέμα πως φαεινόν ἐϛι.

ΠΑΛΑΙ'Φ. Καὶ πῶς; οἱ ἄλλοι πλάνητες πάντες αὐτόφωτοί εἰσι;

ΕΥ'ΘΥ'Φ. ΜενȢ̃νγε· ἢ πῶς ἂν ἄλλως Ȣ̓́τω φωτεινοὶ διαυγάσειεν; ἢ δοκεῖς ὡς καὶ Ȣ̃τοι κατ' ἀντανάκλασιν ἀφ' ἡλίȢ αὐγάζȢσιν;

ΠΑΛΑΙ'Φ. Οὕτω φασὶν οἱ νῦν ἀϛρονόμοι.

ΕΥ'ΘΥ'Φ. Α'λλ' αὐτῶν μὲν ἡ ὑπόθεσις ὅσης γέμει τῆς ἀτοπίας, ἅλις ἐξήλεγκται· σῶμα γὰρ γεηρὸν, κἂν ὅλῳ πυρὶ ἐκκαῇ, ἐκ τοσȢ́τȢ διαϛήματος Ȣ̓κ ἂν διαυγάσσειε. τὰ μὲν γὰρ μὴ συνέχοντα ἐν ἑαυτοῖς τὸ φῶς, ὥϛε φῶς εἶναι, ἢ μὴ ἰσχυρῶς λίαν ἀπωθȢ̃ντα, Ȣ̓κ ἂν εἰς τοσȢ̃τον διελάσειε τὰς ἀκτίνας, ὥϛε Ȣ̓́τω τηλαυγεῖν. ἢ Ȣ̓χ ὁρᾷς τὴν σελήνην, ἣ καί τοι ἔγγιϛα ἡμῖν Ȣ̓̃σα, καὶ ἐν φωτὶ

ὡς

ὡς εἴρηται παγεῖσα, καὶ ἀφ' ἡλίε καταλαμπομένη, ὀλίγον μέντοι καὶ μανὸν ἐκεῖθεν ἀπαυγάζει τὸ φῶς;

ΠΑΛΑΙ'Φ. Διατὶ γῦν ἐ πάντες ἴσα ἡμῖν ἐπιλάμπεσι;

ΕΥ'ΘΥ'Φ. Τῦτο πλείονος δεῖται θεωρίας· εἰρήσεται μέντοι ὅσον πρὸς τὴν ἐρώτησιν. Τῦ αἰθερίε σώματος ὕλης ἀλλ' ἒν μετειληφότος, καὶ πολυπτύχῳ φορᾷ περιειλυθέντος, εἰκὸς τὰς ὑποκειμένας σφαίρας, ἐλάσσονας μὲν τὰς κατωτέρω, μείζονας δὲ τὰς ἀνωτέρω γενέσθαι. τῆς δὲ ἐν ἑκάςῃ ἀντιτυπέσης ὕλης οἱονεὶ ἐκκριθείσης καὶ παγείσης εἰς σφαῖραν, ἵνα τἄλλα τὰ μέρη διαφανῆ μείνῃ, κατὰ μέγεθος καὶ ὕλην ἑκάςης σφαίρας, συνέςη καὶ ὁ κατ' αὐτὴν πλανήτης· πάντες γῦν φωτεινοὶ εἰσι· διὰ δὲ τὴν ἀπόςασιν καὶ τὸ μέγεθος ἡμῖν παραλλάσσεσιν. Ἑρμῆς ὢν φωτεινὸς ἡμῖν καὶ χαρωπὸς δι' ἐγγύτητα· Ἀφροδίτη δὲ φωσφόρος μᾶλλον, διὰ τὸ μέγεθος· καὶ ἥλιος μάλιςα ὅτι ὑπερμεγέθης· ὁ δὲ Ἄρης πυρωπὸς διὰ τὴν ἀπόςασιν, καὶ Ζεὺς αὖθις λαμπρότατος διὰ μέγεθος· ὁ δὲ Κρόνος καθ' ἑαυτὸν μὲν ἴσως μεγέθει καὶ κάλλει προφερέςερος, ἀμυδρὸς ἡμῖν δοκεῖ διὰ τὴν ἀπόςασιν, δι' ἣν καὶ τὴν ὑποτρέχεσαν αὐτῷ ἐν τῷ παθητῷ σώματι σύγκρισιν, ἀσθενῶς διακρίνων, ἐν κύκλῳ αὐγάζει,

ὥ-

ὥσπερ ἀραιὸν νέφος ἡ σελήνη ἐν ἅλωνι, τῦτον δὴ ποιῶν τὸν παρὰ τοῖς νῦν ἀςρονόμοις φαεινὸν δακτύλιον κληϊζόμενον.

ΠΑΛΑΙΦ. Ἀλλ᾽ ἐξ ὧν εἴρηκας συνομολογεῖς ἅπαντα τὸν αἰθέρα φαεινὸν εἶναι.

ΕΥΘΥΦ. Οὐχ ὡς ἄλλοθεν τὸ ἐντελεχείᾳ διαφανῆ γίνεσθαι, ἀλλ᾽ αὐτόθεν εἶναι· καί πως τὸ δυνάμει διαφανὲς τῦ ὑποκειμένυ σώματος καὶ αὐτὸν τὸν αἰθέρα εἰς τὸ ἐνεργείᾳ διαφανὲς ἄγειν· τὸ γὰρ παθητὸν σῶμα, ὅσον διαφανὲς, δυνάμει τῦτο ἔχον, μεταβάλλει μὲν ἀπὸ τῦ δυνάμει διὰ παντὸς τῦ ἀνάςρυ αἰθέρος, καὶ δι αὐτῶν τῶν ἀπλανῶν ἀςέρων καὶ πλανητῶν, τελειῦται δὲ ἐν τῷ ἡλίῳ· διὸ καὶ ἐν νυκτὶ ἔςιν ἡμῖν πρὸς αἰθέρα βλέπειν, αἰθρίας ὔσης· καὶ πλεῖςα τῶν ζώων κατ᾽ αὐτὴν ὁρᾷ βαδίζοντα, καὶ τὰ πρόσφορα θηρᾶται.

ΠΑΛΑΙΦ. Καὶ εἰ οἱ ἀςέρες ἐν τῷ αἰθέρι εἰσὶ κατὰ διάφορα ὕψη, πῶς ὐκ ἀλλοιῦσιν αὐτὸν ἐπιςέλλοντες τὰς ἐνεργείας δι αὐτῦ, ἐπὶ τὸ ὑποκείμενον παθητὸν σῶμα;

ΕΥΘΥΦ. Οἱ ἀςέρες συμπεφυκότες τῷ αἰθέρι σὺν αὐτῷ ἐνεργῦσι· καὶ τῦτον ἐνεργείᾳ ὄντα διαφανῆ ἐν μέρει ἐποχύμενοι, ὐκ ἀλλοιῦσι μὲν, τελειῦσι δὲ· εἴπερ τὸ χρῶμα, καὶ ὅλως τὸ φῶς ἐνέργεια ἐςὶ τῦ κεχρωσμένυ ἢ φωτιςικῦ ἐν τῷ διαφανεῖ· τὸ δὲ

πα-

παθητὸν σῶμα ἀλλοιοῦσι μὲν διὰ τὴν κίνησιν, κινοῦσι δὲ διὰ τῆς ἐνεργείας· φωτιστικὰ γὰρ ὄντα, τὸ δυνάμει διαφανὲς ἐπὶ τὸ ἐνεργείᾳ ἄγουσι. τὸ δὲ κινούμενον ἐπὶ τὸ ἐνεργείᾳ γενέσθαι διαφανὲς, ἀλλοιοῦται καὶ διαθερμαίνεται αὐτότε καὶ τὸ παρακείμενον αὐτῷ, κἂν ὕδωρ, κἂν γῆ ᾖ· ὥστε ἡ παρουσία τοῦ φωτιστικοῦ ποιεῖ καὶ τὸ φῶς, καὶ τὴν ἀλέαν πρῶτον ἐν τῷ διαφανεῖ, καὶ δὴ αὐτοῦ ἐν τοῖς ἄλλοις, εἰ καὶ τἄλλα μᾶλλον διακρατεῖ, διὰ τὸ πλείονος μετέχειν ὕλης, καθ' ἣν ἐλινύει τὸ ἐγγινόμενον πάθος. πρὸς οὖν τὴν παρουσίαν τοῦ φωτιστικοῦ ἐν πλείονι χρόνῳ πλείων, καὶ ἐν ἐλάσσονι ἐλάσσων ἐγγίνεται καὶ ἡ ἀλέα· ὅτι καὶ ἡ κίνησις καὶ ἡ ἀλλοίωσις τοιαύτη ἐν τῷ φωτιζομένῳ σώματι· διὸ καὶ ἐν θέρει πλείων ἡμῖν ἡ ἀλέα, ὅτι διὰ πλείονος ἐφ' ἡμᾶς παρουσιάζει ὁ ἥλιος· ἐν χειμῶνι δὲ ἐλάσσων, ὅτι δὴ ἐλάσσονος.

ΠΑΛΑΙΓΦ. Ἀλλ' εἴπερ ὁ ὑπὲρ ἡμᾶς αἰθὴρ δὴ ἑπτὰ πτυχῶν ἐπαλλήλων ἔνερθεν περιελιχθεὶς, καὶ κατὰ ταύτας τῆς ἐνούσης ἀντιτυπίας ἐκκαθαρθεὶς, μόνον ἑπτὰ ἀστέρας φωταυγεῖς καὶ ἀντιτύπους παρέσχε· τὸ ὑπερκείμενον ἄρα σῶμα τῆς πολυάστρου σφαίρας τοσούτους ἔχον ἀστέρας, ἢ πλείονος μετέσχεν ἀντιτυπίας, ἢ ἀσυγκρίτῳ μεγέθει εἴτουν βάθει καὶ πλάτει ὑπερέχει τῶν κάτω σφαιρῶν.

ΕΥ.

ΕΥΘΥΦ. Μεγίςη τῷ ὄντι ὑπεροχὴ τȣ̃ μεγέθȣς ἐκείνης τῆς σφαίρας. πλὴν ἀλλὰ καὶ ἐν ἡλίῳ τῆς φωτοβόλȣ καὶ ἀντιτύπȣ ἐκ τȣ̃ αἰθέρος ἐκκρίσεως μεγάλη τις σύςασις καὶ σύμπηξις ἐνυπάρχει· μείζων γὰρ ὁ ἥλιος παντὸς φωταυγȣ̃ς σώματος· διὰ τȣ̃το καὶ μέσος τέτακται τῶν πλανητῶν, ὡς τȣ̃ ἀποκεκριμένȣ ἀντιτύπȣ καὶ φωταυγȣ̃ς ἐκ τȣ̃ αἰθέρος πλείονος μεταλαχών.

ΠΑΛΑΙΦ. Οὐκ ἄρα πρὸς ἡμᾶς μόνον ἄρχων ἡμέρας ὁ ἥλιος.

ΕΥΘΥΦ. Ἧ μὲν καταλάμπει τὸ περὶ ἡμᾶς, καὶ ποιεῖ ἡμῖν τὴν ἡμέραν, ἄρχων ἡμέρας ἡμῖν ὁ ἥλιος, ᾗ δὲ τῷ μεγέθει καὶ ὄγκῳ τȣ̃ φωταυγȣ̃ς πάντων ἀςέρων ὑπερέχει, καὶ πρωτεύων ἐν φωτὶ, καὶ γίγας ȣ̓ρανȣ̃ ῥηθήσεται.

ΠΑΛΑΙΦ. Διὰ τȣ̃το οἶμαι καὶ κέντρον τȣ̃ παντὸς ὑπέθεντο.

ΕΥΘΥΦ. Ἔα ταῦτα τὰ φρȣ̃δα καὶ ὑπηνέμια· τὸ γὰρ κέντρον ἐν παντὶ ἀκίνητον, καὶ πάντοθεν τὰς κινήσεις ἐπ' αὐτὸ δεχόμενόν ἐςιν, οἷον προφανῶς ἡ γῆ· πρόδηλον γὰρ ὅτι καὶ ἡμεῖς αὐτοὶ συναισθανόμεθα τὰς ἐκ πάντων ἐνεργείας ἐφ' ἡμᾶς ἱκνȣμένας, τῷ φωτὶ αὐτῶν καταλαμπόμενοι· ἅπας γὰρ ὁ αἰθὴρ δρᾷ ἐν ἡμῖν διὰ φωτὸς, ἄγων πρώτως ἐπὶ τὸ ἐντελεχείᾳ γενέσθαι καταφανὲς, τὸ δυ-

νά-

νάμει διαφανές· Ἐκ δὲ ταύτης τῆς κινήσεως ἀλλοιόμενον τὸ ἔνερθεν σῶμα ποικίλως διατίθεται. οὐ γὰρ ἁπλοῦν οὐδὲ μονοειδὲς, συνέςη ἀπ' ἀρχῆς, ὥςε κατὰ τὴν πολυειδῆ καὶ παντομιγῆ τῶν κάτωθεν σύςασιν, καὶ τὴν πολύφορον ἐπ' αὐτοῖς καὶ πολύτροπον τῶν ἄνωθεν ἐπενέργειαν, διαρκεῖ τὰ μένοντα, καὶ τίκτονται τὰ γεννώμενα, καὶ τὰ φθίνοντα οἴχεται. ἅλις γοῦν τῆς τῶν κενολόγων ναυτίας, οἵτινες καὶ αἰσθήσεις καὶ λόγον καταπροέμενοι, τὸ μέγα τοῦτο καὶ πάγκαλον τοῦ παντὸς σύςημα κατακερματίζουσιν εἰς συςήματα ἀλλήλων ἀφιςάμενα καὶ διέχοντα, κέντρα τοσαῦτα ὑποθέμενοι, ὅσα τὰ φωταυγῆ σώματα· καὶ περὶ ταῦτα πλανήτας περιάγοντες, καὶ οἰκουμένας φαντασιοῦνοι· οἰόμενοι ἐπαρκεῖν τῶν φωτεινῶν σωμάτων ποιεῖν ἕκαςον, ὅσα ὁμοῦ πάντες οἱ ἀςέρες ἐκτελοῦσιν. εἰ γὰρ ἥλιος αὐτὸς προὔχων μεγέθει, πάντων συνεργούντων ἐπὶ τὴν ἀλλοίωσιν τοῦ περὶ ἡμᾶς σώματος· τί γὰρ ἱκάνει πρὸς ἡμᾶς ἐκείνων τὸ φῶς μὴ συνεργούντων; ἢ τί ἄλλο ἐξ ἡλίου ἡμῖν ἥκει, ἢ φῶς; μόλις μέντοι ποσὸν ταύτης τῆς νωθῆς ὕλης θάλλειν καὶ ζῆν ποιεῖ, τί ἂν ἐποίησεν, ἐκείνων ἀπόντων; τί δὲ, τἄλλα ἡλίου διέχοντος; ὡς οὗτοι διϊςῶσι μωραίνοντες, καὶ τὰ μωρὰ ταῦτα λέγειν μὴ καταιδούμενοι;

ΠΑ-

ΠΑΛΑΙΓΦ. Ἀλλὰ τίνος ἕνεκεν, εἰ τὴν κατὰ τόπον κίνησιν ἐδέξατο, τὴν κύκλῳ φορὰν ἀπείληφε τὸ αἰθέριον σῶμα; ἢ πῶς αὕτη κατὰ φύσιν τούτῳ κεκλήρωται;

ΕΥΘΥΦ. Ὅτι ἡ κατὰ τόπον κίνησις καὶ τοῖς τελείοις ἐν ὕλῃ εἴδεσιν, ἵνα ᾖ σώματα, οὐκ ἀνοίκειος, οὐδὲ τὴν φύσιν αὐτῶν λυμαίνεται· μᾶλλον δὲ τελειοῖ τὰ ἔργα. ἐπειδὴ δὲ ἡ ἐπ' εὐθείας ἐν ἐκστάσει τῆς ἀρχῆς ἀφ' ἧς ἤρξατο, καὶ τοῦ τέλους πρὸς ὃ σπεύδει, ὥρισται τῶν ἐν μεταβολῇ, εἴτουν ἐν γενέσει, καὶ τούτοις κατὰ φύσιν προσήκει, ἡ κύκλῳ ὁμαλὴ οὖσα διόλου, ἅμα τῇ ἀρχῇ τὸ τέλος συνάπτουσα, τοῖς μὴ κατ' εἶδος μεταβαλλομένοις ἐστὶ κατάλληλος· τοιαῦτα δὲ τὰ αἰθέρια· τούτοις ἄρα φύσει ἐνυπάρχει, καὶ ταύτην, εἴπερ σώματα ἀμετάβλητα ὄντα κινεῖται, καὶ τὰ ἴδια ἔργα ἐκτελεῖ, συμπράττοντα ἐν τῷ παντί. ἔνθεν τοι καὶ ἀπόνως καὶ ἀτρύτως ταῦτα περαίνει, κατὰ φύσιν τῆς κύκλῳ τούτοις ἐνούσης φορᾶς·

ΠΑΛΑΙΓΦ. Ὥστε οὐ συμπέφυκεν ἡ ἐπ' εὐθείας τῇ κύκλῳ ἐν ἑνὶ, κατὰ τὰ εἰρημένα.

ΕΥΘΥΦ. Μενοῦνγε· πᾶν γὰρ τὸ κινούμενον ἐκ φύσεως, ἢ ἐπ' εὐθείας, ἢ κύκλῳ κινεῖται. τὸ γοῦν παθητὸν σῶμα ἐπ' εὐθείας πεφυκὸς κινεῖσθαι,

εἴποτε κύκλῳ, βίᾳ κινεῖται· καὶ τῦ αἰθερίυ εἴ τι ἐπ᾽ εὐθείας κινοῖτο, βίᾳ ἂν κινοῖτο. ἐπεὶ γῦν ἅπας ὁ αἰθὴρ κύκλῳ κινεῖται, ὁ δὲ κύκλος ἕν τι ἐν ἑαυτῷ ἔχει τὸ κέντρον, περὶ τῦτο ἄρα μόνον κινεῖται· καὶ ὐκ ἐςι περὶ ἄλλο καὶ ἄλλο περιάγειν τὸ αὐτὸ ἀπ᾽ ἐναντίας τῆς φύσεως. ἀδιανόητος ἄρα ἐςὶν ἡ περὶ τὸν ἴδιον ἄξονα περιςροφὴ καὶ ἅμα περὶ τὸν ἥλιον περίοδος τῆς γῆς κατὰ τὴν ὑπόθεσίν σῦ.

ΠΑΛΑΙΦ. Ἀλλὰ πῶς τῶν ὑποκειμένων ἐν τῷ αἰθέρι πλανητικῶν σφαιρῶν, ταὐτόν ἐςι τὸ κέντρον τῷ κέντρῳ τῦ παντός;

ΕΥΘΥΦ. Ταὐτὸν εἰμὴ μαθηματικῶς, φυσικῶς μέντοι. ἅπας γὰρ ὁ αἰθὴρ φυσικῶς κέντρον ἔχει τὸ παθητὸν σῶμα, ἐφ᾽ ὃ καταπέμπει τὰς ἐνεργείας, καὶ ὑπὲρ ῦ φέρεται τὰ οἰκεῖα ἔργα ἐκπληρῶν. ἢ σοι δοκεῖ μεγάλα τὰ διαςήματα ἀφ᾽ ἡμῶν ἄχρι σελήνης, μὴ τὰ ἐπέκεινα ὀρθῶς λογιζομένῳ, καὶ μικροῖς τὰ μεγάλα μετρῶν, μεγεθύνεις τὰ μικρὰ παρὰ λόγον. ἅπας γὰρ ὁ ὄγκος τῦ παθητῦ σώματος πρὸς τὰ ἐπέκεινα μεγέθη σημείυ λόγον ἔχει· καὶ τὸ μεῖζον θαῦμα, ὅτι ἅπαντα κοινῶς καὶ καθ᾽ ἕκαςα τῦ αἰθέρος τὰ μέρη, ὡς πρὸς κέντρον ἐπ᾽ αὐτὸ ἐνεργῦντα μέχρι καὶ τῶν ἐλαχίςων, τὴν τάξιν τηρεῖ, τὴν φύσιν καταγγέλλοντα· ἵνα καὶ ἡμεῖς

μεῖς ἐξ ὧν πεῖρᾳ μανθάνομεν, τῦ ὅλυ τὴν φύσιν εἰδῶμεν. ἥλιος γὰρ καὶ λοιποὶ ἀςέρες τὴν γῆν πᾶσαν ἐφορῶντες ὡς κέντρον, καὶ κύκλυς ἐπ᾽ αὐτὴν διαγράφυσι, καὶ ὡς σῶμα σύςοιχον περιέποντες τὰς θέσεις ἀμοίβυσι. τί δὲ λέγω; καὶ φωτὸς ἀκτὶς κύκλον περιϊῦσα, ςιγμὴν ἄοπτον, κέντρον ὑποτίθησι, τῦ παντὸς μιμυμένη φύσιν καὶ θέσιν καὶ κίνησιν, καὶ ὑπ᾽ ὄψιν ἡμῖν διαγράφυσα. τί ὖν ὑ καταναεῖς τὴν φύσιν; τί δὲ τὴν τῦ αἰθέρος μόνυ ἐνέργειαν τῇ γῇ προσοικειοῖς, καὶ εὐσθενῶς ὡς ἠλακάτην περιάγεις, κλώθων ἀσύγκλωςα; πῶς δὲ καὶ περὶ τὸν ἥλιον περιάξεις, μὴ τὴν τοσαύτην ἀποξέσας νωθρίαν; πῶς δὲ καὶ τῇ κύκλῳ φορᾷ τὴν ἐπ᾽ εὐθείας συνάπτεις, φύσει ἀποπεφυκότα ἐν ἑνὶ συνεῖναι, καὶ διὰ σωμάτων ἐλθόντα, καὶ ταῦτα ἀπ᾽ ἀλλήλων διαχωρίσαντα εἰς τρεπτὰ καὶ ἄτρεπτα, καὶ ἀλλοιωτὰ καὶ ἀναλλοίωτα, καὶ ποιῦντα καὶ πάσχοντα; ὐκ ἔςιν, ὗ μενυν δὴ, ταῦτα λέγειν πρὸς σοφῦ, καὶ ἐπιςήμονος· ὕθλοι δὲ καὶ φλήναφοι σπερμολόγων καὶ ἀμαθῶν.

ΠΑΛΑΙΦ. Ἀλλὰ πῶς ὐκ ἐπ᾽ εὐθείας ἱκάνει ἐφ᾽ ἡμᾶς τὸ φῶς ἀφ᾽ ἡλίυ, σῶμα ὂν, καί τοι αἰθέριον; ἔςιν ἄρα προσήκυσα φύσει καὶ τοῖς αἰθερίοις ἐν μέρει ἡ ἐπ᾽ εὐθείας φορά.

ΕΥΘΥΦ. Ἐπ' εὐθείας ἀφ' ἡλίȣ ἱκάνει τό φῶς· ȣ̓κ ἔςι μέν τοι σῶμα ἀφ' ἡλίȣ ἐκρέον καὶ χεόμενον, ἀλλ' ἐνέργεια ἐν τῷ διαφανεῖ σώματι, ἥτις διαδύει γραμμικῶς οἱονεὶ ἐφ' ἡμᾶς ἥκȣσα, καὶ ἀντιτυπίᾳ προσχȣ̃σα διαχέεται· ὥςε τὰ πάθη τȣ̃ ἀναλλοιȣμένȣ ἀναδεχομένη, σώματι δοκεῖ, ὅτι τοιȣ̃τον τὸ ὑπ' αὐτῆς ἀλλοιȣ́μενον, καὶ τοιαῦτα πέφυκε πάσχειν.

ΠΑΛΑΙΦ. Ὥςε ȣ̓κ ἔςιν ὁμοφυῆ τὰ αἰθέρια τοῖς ὑπὸ σελήνην, ȣ̓δὲ παθῶν καὶ ἰδιοτήτων συγκοινωνȣ̃σι τῶν αὐτῶν. ἡμεῖς ἄρα καὶ λίαν παραλογιζόμεθα, ἐκείνοις προσόντα λογιζόμενοι, ὅσα ἐνταῦθα ἐκ τῶν περὶ ἡμᾶς σωμάτων πεῖρᾳ μεμαθήκαμεν. ȣ̓κ ἄρα ἐκείνοις, ἡ κίνησις, ἡ διαίρεσις, ȣ̓χ ἕλξις, ȣ̓κ ὦσις, ἡ ψίξις, ȣ̓κ ἀλέα, ȣ̓δ' ἄλλο τι, πάντα δὲ ἕτερα.

ΕΥΘΥΦ. Τὰ αἰθέρια τῶν ὑπὸ σελήνην ἑτεροφυῆ μέν εἰσιν, ἀλλ' ȣ̓χ ὅλῳ τῷ γένει διέςηκε· σώματα γάρ εἰσι. διὸ ὅσα μὲν ἀνήκει τῷ σώματι, ᾗ σῶμα φυσικὸν, καὶ τȣ́τοις πρόσεςιν. ὅσα δὲ ἴδια τȣ̃ παθητȣ̃ σώματος, ἐκείνων ἄπεςι. τὸ μὲν ȣ̓̃ν ἐξ ὕλης καὶ εἴδȣς συγκεῖσθαι, καὶ τὸ ἐν τόπῳ εἶναι καὶ κινεῖσθαι κἀν τȣ́τοις ἔνεςι· διαφέρει δὲ τῶν ὑπὸ σελήνην μάλιςα, ὅτι ἐκείνοις ἐνεργεῖν

πρὸς ταῦτα, καὶ μὴ πάσχειν ὑπ᾽ αὐτῶν περίεςι· τέτοις δὲ πάσχειν καὶ μὴ ἐνεργεῖν πρὸς ἐκεῖνα ἀφώρισαι· καὶ τὰ μὲν ἐν γενέσει καὶ διηνεκεῖ ῥοῇ εἶναι κατὰ πᾶν εἶδος κινήσεως μεταβαλλόμενα, τὰ δὲ ἀπηλλαγμένα οἰασȣν ἐναντιώσεως, διόλȣ ὁμοφυῆ εἶναι καὶ ἄτρεπτα μένειν καὶ ἀμετάβλητα, καὶ τὴν κατὰ τόπον μόνην κινεῖσθαι κίνησιν τῆς τȣ ὅλȣ ἐνεργείας ἀντεχόμενα· πᾶν γὰρ τὸ ἐν τῇ φύσει τῷ ὅλῳ συνȣσιȣται, καὶ ἕνεκα τȣτȣ ἐνεργεῖ. διὸ ȣδὲν ἐν τῇ φύσει ἀργόν. εἰδὲ καὶ τὰ ἄλλως πάσχοντα τῇ καθ᾽ ἕκαςον ὑπὲρ ἑαυτῶν ἐνεργείᾳ συντελεῖ πρὸς τὴν ὁλικὴν τȣ παντὸς ἐνέργειαν, ἥτις ἐςὶν ἡ διαμονὴ καὶ συντήρησις τȣ ὅλȣ ᾗ ὅλον, τὰ κρείττονα πάθȣς, καὶ ἐξόχως πεφυκότα ἐνεργεῖν, πῶς ἂν ςαῖεν ἀτρεμȣντα; ἐπισπεύδει ȣν καὶ τὸ ὅλον αὐτὸ ὁ αἰθὴρ πρὸς τὸ ἔργον τȣ ὅλȣ, ἀλλὰ καὶ τῶν μερῶν αὐτȣ ἐξόχως τῶν φωτεινῶν ἀλλοίως ἕκαςον· ταῦτ᾽ ἄρα καὶ τὴν κύκλῳ φορὰν φύσει κεκλήρωται, ὁμαλὴν ȣσαν ἀπαθῶς περιϊὼν, καὶ τὸ μέγα ἀτρύτως ἐκτελῶν τῆς συνυπάρξεως τῶν γεννητῶν ἔργον, ἐν τῇ ἀλήκτῳ μεταβολῇ τȣ παθητȣ σώματος περιτρέχει· κἂν ταύτῃ τῇ ἰδιότητι ὑπερανέςηκε καὶ διενήνοχεν, ὁμαλῶς θέων, καὶ ὀξέως περιϊὼν, καὶ ἐν τῷ αὐτῷ μένων, καὶ ἀεὶ συνέ-

νέχων ὁλικῶς, καὶ μεταβάλλων, καὶ κινῶν ἀλλοίως πάντοθεν αὐτὸ, καὶ τὰς ἐπ' εὐθείας ἐν τούτῳ ἐνιεὶς κινήσεις, ἄνω καὶ κάτω ἐν μέρει, δι' ἰδίων μερῶν φέρεσθαι ἐμποιεῖ. κίνησις γοῦν τοιαύτη τοῖς αἰθερίοις ἔνεστι· τμῆσις δὲ, καὶ διαίρεσις, ὅση μὲν ἐκ πρώτης αὐτῶν συστάσεως διέστησε, καὶ διέκρινε τὰ μέρη ἐν συνυπάρξει καὶ ἀλλοίᾳ θέσει καὶ φορᾷ, καὶ τούτοις πρόσεστι· ὅση δὲ τὰ συνυπάρξαντα διΐστησι, καὶ τὰς θέσεις καὶ φορὰς ἀμείβει δι' ἀλλοιώσεως φυσικῆς, ἀπηλλαγμένοις οὖσι τῶν ἐναντίων ποιοτήτων, ἐν αἷς αἱ κατὰ φύσιν μεταβολαὶ καὶ ἀλλοιώσεις, καὶ ὅλως παθῶν ὑπερκειμένοις καὶ ἐνεργοῖς οὖσιν, οὐκ ἔνεστιν, οὐδ' ὥσις καὶ ἕλξις ἐν αὐτοῖς εἰσι. τὸ δὲ παθητὸν σῶμα ἄνω θέον, ἢ κάτω φερόμενον τῇ τοῦ αἰθέρος ἐνεργείᾳ δοκεῖ ἀπωθεῖσθαι καὶ ἕλκεσθαι ὑπ' αὐτοῦ. ψύξις δὲ καὶ ἀλέα πάθη εἰσὶ τῶν ἀλλοιουμένων ἐν σχέσει τῇ παρουσίᾳ καὶ ἀπουσίᾳ τῶν ἄγαν φωτεινῶν μερῶν τοῦ αἰθέρος. ὥστε τούτων καὶ τῶν ὁμοίων παθῶν, ὅσα ἐν τοῖς περὶ ἡμᾶς κατελάβομεν, τὰς μὲν φύσεις ἐν τούτοις μανθάνομεν, ἐκεῖθεν δ' ἐπιούσας τὰς συνεργοὺς καὶ κοινὰς αἰτίας τῶν μεταβολῶν ἐπεγνώκαμεν, καὶ τὰς δυνάμεις, οὗ τὰ πάθη τῆς ἀλλοιώσεως προσεῖναι ἐκείνοις συνεννοοῦμεν.

ΠΑ-

ΠΑΛΑΙΦ. Καὶ πῶς; τὰ [παῤ ἡμῖν εἴδη ἐ συνεργῦσιν ἐν ταῖς μεταβολαῖς τῶν γεννητῶν;

ΕΥΘΥΦ. Καὶ μάλαγε· καὶ ἀναλόγως ἕκαςα δέχεται τὰς ἐρανόθεν ἐπιέσας ἐνεργείας, καὶ καθ' ἑαυτὰ ὁρίζει, καὶ ἀλλοίως πῶς συνεργεῖν ποιεῖ κοινὰς ἔσας. ἀλλ' ἔτε τῶν ςοιχείων τὴν διηνεκῆ ἐνῦσαν μεταβολὴν ἐκ τῆς αἰθερίε φορᾶς, ἔτε τὴν ἐπιγιγνομένην ἐντεῦθεν κατὰ τὸ εἶδος ἐπίῤῥωσιν διακρατεῖν ἐν τῇ αὐτῇ ὕλῃ ἰσχύει· μεταβαίνοντα δὲ ἐπ' ἄλλην συνθέσει εἰδικῶς τῇ ἀλήκτῳ φορᾷ τῦ αἰθέρος, καὶ μένει διηνεκῶς τῦ ὅλε τὴν φύσιν συμπληρῦντα, τῇ συνυπάρξει ἐν τοῖς εἴδεσι μιμέμενα τὰ κρείττονα.

ΠΑΛΑΙΦ. Καὶ εἰ ἡ φορὰ τῦ αἰθερίε σώματος ἄληκτον ἐμποιεῖ τὴν ῥοὴν ἐν τοῖς ςοιχείοις, δι ἧς τὴν φθορὰν τῶν ἐνυπαρχόντων ἐν τοῖς περιγείοις εἴδεσιν ἐμποιεῖ, βέλτιον ἄρα εἴη μὴ κατὰ τόπον περιφέρεσθαι τὸν αἰθέρα, μὴ δὲ ἐνεργεῖν πρὸς ἡμᾶς καθ' ἑαυτὸν μένοντα.

ΕΥΘΥΦ. Εἰ γὰρ τὸ ὑπὸ σελήνην σῶμα διαιρεθὲν εἰς τὰ ςοιχεῖα ἔμεινεν ἀκίνητον, ἐκ ἂν ἐγίνετο τομὴ καὶ μίξις καὶ σύνθεσις αὐτῶν, ἐδὲ τὰ καθ' ἕκαςα εἴδη ὑπῆρξεν (α)· ἀλλὰ καὶ πολυτρόπως ἔτω μι-

(α) Ὅρα ὡς κατὰ φύσιν ἐν ἡμέραις ἡ γένεσις.

μιγέντων, καὶ παντοίως συντεθειμένων, παυσαμένης τῆς ἄνωθεν φορᾶς, καὶ ἐνεργείας τȣ̃ αἰθερίȣ σώματος, γένεσις μὲν ȣ̓κ ἦν, φθορὰ δὲ τῶν ἐν τȣ́τοις συνισαμένων εἰδῶν ὑπῆρχεν· ὅτι ἐν δυνάμεσιν ἐναντίαις συμπεπλεγμένον ἕκασον, ἐκ τȣ̃ παρακειμένȣ ἂν διεπόνει, τῶν ἐν ἐκείνῳ ποιοτήτων ἀλλοίως ἐχȣσῶν, καὶ τὴν ἐν αὐτῷ ἁρμονίαν τῇ κοινωνίᾳ συγχεȣσῶν. ȣ̓δὲ γὰρ οἷόντε συνυπάρχειν ἀπαθῆ, τὰς κοινὰς ποιότητας ἀναμερισάμενα, καὶ ἐν μέτροις διαφέρȣσιν ἀπειληφότα. ȣ̓δὲ γὰρ τὰ ὅμοια τοῖς ὁμοίοις μὴ συνιέναι καὶ συντρέχειν· ἢ τὰ ἐναντία τοῖς ἐναντίοις μὴ μάχεσθαι πέφυκεν. ἐκ δὲ τῆς ἐνυπαρχȣ́σης ταύτης μάχης καὶ φιλίας ȣ̓κ ἂν περιῖσχοι τὰ καθ' ἕκασα ἔνυλα εἴδη, τὰ ἐνόντα διακρατεῖν σοιχεῖα, καὶ μένειν καθ' αὑτὰ ἄτρεπτα· ἐν αὐτοῖς γὰρ καὶ ἐξ αὐτῶν μίξει καὶ συνθέσει συνέςη. ὥσε φορᾶς τȣ̃ αἰθερίȣ σώματος μὴ γενομένης, ȣ̓́τε γένεσις ȣ̓́τε διομονὴ τῶν περὶ ἡμᾶς παντοίων εἰδῶν υπάρξεις. συνέχει ȣ̓̃ν καὶ ὁρίζει τὰ πολυπληθῆ ὁμαλῶς φερόμενος ὁ αἰθὴρ, καὶ ἀντιμετρεῖ ἐν ἴσοις τὰ διαῤῥέοντα, καὶ τα φθίνοντα ἀποκαθισᾷ τῇ γενέσει, καὶ συνυπάρχειν τὰ ἐναντία πολυτρόπως οἰκονομεῖ καὶ διέπει· εἴποτ' ἄρα παύσηται ὁ ȣ̓ρανὸς φερόμενος, φθείροιτο ἂν, ἀεδὴν ὁ περὶ τὴν γῆν τοσȣ́των εἰδῶν περικαλλὴς κόσμος.

ΠΑ-

ΠΑΛΑΙΦ, Ἀλλ' εἴπερ ὅλως ἀπαθὴς ὁ οὐρανὸς, ἐστὶν ἄρα ἄφθαρτος καὶ ἀγέννητος.

ΕΥΘΥΦ. Εἴπερ ὅλως ἀπαθὴς φύσει, ἔσται φύσει ἀγέννητος καὶ ἄφθαρτος· πᾶν γὰρ τὸ φύσει γεννητὸν ἐκ προτέρων γεννᾶται. οὐρανοῦ δὲ οὐκ ἔστι τι ἐν τῇ ὕλῃ πρότερον· (α) οὔτε τι κρεῖττον καὶ ἰσχυρότερον, ἵνα ὑπ' αὐτοῦ κρατηθῇ καὶ φθαρῇ, οὐκ ἔστι μέν τοι ἁπλῶς ἀγέννητος, καὶ ἁπλῶς ἄφθαρτος· ὅτι οὐδὲ ἁπλῶς ἀπαθὴς ἔνυλος ὢν, καὶ ἐν τῇ φύσει· ἡ γὰρ φύσις ἀεὶ ἑτεροκίνητος· ἀρχὴ γὰρ ἐστὶ κινουμένη κινοῦσα. οὔτ' ἄρα ὑφ' ἑαυτοῦ οὔτε ὕπαρξιν, οὔτε θέσιν καὶ τάξιν καὶ κίνησιν ἀπ' ἀρχῆς ἔσχεν, οὔτε λαβὼν, διακρατεῖν ἐπίσης δι' ἑαυτοῦ ἔχοι, πεπερασμένος ὢν καὶ ἐν ὕλῃ, καὶ τῆς ἐκ ταύτης μὴ διόλου ἀπηλλαγμένος ἀδρανείας, εἰ καὶ τῆς κάτω περιπετείας καὶ μάχης καὶ ἐναντιώσεως τῶν στοιχιακῶν ποιοτήτων ὑπερβέβηκε, καὶ πρὸς ταῦτα ποιεῖν, καὶ μηδαμῶς ὑπ' αὐτῶν πάσχειν πέφυκεν· οὐδὲ γὰρ διόλου τελείας ἔλαχε τῆς ἁπλότητος, συμμεριζόμενος ἐν πολλοῖς μεγέθεσιν, οὐδ' ἐπίσης ἐν αὐτοῖς ἔμμορε τῆς δυνάμεως εἴγαν φορᾶς, καίτοι ἑνοειδοῦς οὔσης· πεπέρασται δὲ ὥσπερ τῷ μεγέθει,

οὕτω

(α) Διὸ καὶ πρωτεύει ἐν τῇ γενέσει· ἐν ἀρχῇ γάρ φησιν ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν· καὶ τ. λ.

ὅτω τοι καὶ ταῖς ἐνεργείαις, καὶ συμμερίζεται ἐν μέρεσιν εἰδικῆς μεταλαχών, ὁ μέντοι τελειοτάτης ἑνότητος· καὶ ἐν χρόνῳ ἐπενεργεῖ, καί τοι τάχιςα ἐπιών. διὸ καὶ προσδεῖται ἐπὶ τὸ εἶναι καὶ ἐνεργεῖν καὶ διαμένειν τῆς ἀκράτε ἐντελεχείας, τῆς ἀκροτατης ἁπλότητος, τῆς ὑπερσθενῆς δυνάμεως, καὶ ἀπείρε ἐνεργείας· τῆς ὑπερτελεςάτης ἑνότητος, καὶ ἀϊδίε ὀντότητος, ὑφ᾽ ἧς ἔλαβε τὴν ἀρχὴν, καὶ διασώζει τὸ εἶναι, καὶ τοιαύτην εχει τὴν τε πρόοδον καὶ τὴν ἕξιν ἐπὶ τὸ ἐνεργεῖν, ἐξ ἧς καὶ δι᾽ ἧν καὶ πρὸς ἣν τὰ πάντα· αὐτῷ τῷ ἐν Τριάδι Θεῷ τῶν Πάντων ἡ Δόξα εἰς τὸς αἰῶνας· ἀμήν.

# ΔΙΆΛΟΓΟΣ Γ.

„Ἤλιτεν ἀρραδέως δόξαις κατ᾽ ὄλυμπον ἐπαθρεῖν,
Φοντενέλης κενόφρων, ἤμβροτ᾽ ἄρ᾽ αἰθερίων.
„Πληθὺν γὰρ κόσμων διζήμενος ᾤχετο ἔκφρων,
Καρτεσίοιο δίναις, ῥίμφα ἑλισσόμενος.

## ΔΙΑ΄ΛΟΓΟΣ Γ.

### Δημόφιλος καὶ Ξενοκράτης.

ΔΗΜΟ΄Φ. Ἀλλ' οὐδὲν ἀντιπίπτει· μᾶλλον δὲ συνίσταται τὸ τοῦ Κοπερνίκου σύστημα διὰ τῆς ἀποκεκαλυμμένης φυσιολογίας, ἣν πρὸ μικροῦ ὁ εἰς βάθος ἐγκύψας τῆς φύσεως ὑπὲρ τὸν Δημόκριτον μέγας Νεύθων ἐξεκάλυψεν· ὥστε καὶ φυσικῶς καὶ μαθηματικῶς συγκεκρότηται, καὶ ἀκράδαντον μένει τοῦτο τὸ σύστημα· διὸ καὶ συγγνωμόνως ὑπὸ πάντων τῶν νέων φιλοσόφων θαυμάζεται ὁ κλεινὸς Κοπέρνικος ὡς εἰς αὐτὴν τὴν σύστασιν τοῦ παντὸς ἀπιδὼν ὑπὲρ τοὺς πολλοὺς τῶν φιλοσοφησάντων.

ΞΕΝΟΚΡ΄. Ἀλλ' ὅτι μὲν οὐ καινόν τι ἐξεῦρεν, οὐδὲ μέγα τι ἐπενόησεν ὁ Κοπέρνικος, ἀλλὰ σαθρόν τι καὶ καταπεπτωκὸς ἀνήγειρε, καὶ παλαιὸν ἀνεκαίνισε δογ-

δόγμα, ὁ τοιαύτης δόξης παρὰ τοῖς εἰδόσιν ἀπώνατο· Χαλδαίων γὰρ τοῦτο δόγμα τῶν ἀρχαιοτάτων, ἐξ ὧν ἴσως καὶ εἰς αὐτοὺς τοὺς παλαιτάτους τῶν πυθαγορίων διέβη· Φιλόλαος γὰρ ὁ πυθαγορικὸς παρ' Ἕλλησι τοῦτο προέστη, καὶ ἐξῆς Δημόκριτος συνεστήσατο, καὶ πολλοὶ ἕτεροι. ὅτι δὲ φυσικῶς διὰ τῆς καινοτέρας ὡς λέγεις φυσιολογίας συνίσταται, οὐ συνορῶ· δείξω δὲ καὶ ὅτι μαθηματικῶς περιτρέπεται, καὶ καταπίπτει τὸ καινὸν τοῦτο σύστημα. ἀλλὰ πρῶτον εἰπέ μοι τίνι τρόπῳ ἑρμηνεύεται κατὰ Νεύθωνα καὶ φυσικῶς ἀποδείκνυται ἔμπεδον· οὐ γὰρ διὰ τῆς πολυτρόπου καὶ πολυσπέρχους καρτεσιανῆς δίνης ἐξηγεῖται· εἰ καὶ ὁ ὑπηνέμιος Πήγασος, εἴτ' οὖν Φοντενέλης μάτην πειρᾶται ἑρμηνεύειν.

ΔΗΜΟΦ. Εἰ γὰρ τῶν σωμάτων κοινή ἐστιν ἐν ἑκάστῳ κεντρομολοῦσα δύναμις, καὶ γενικὴ ἐπὶ πάντων ἡ πρὸς ἄλληλα ὁλκή, δι' αὐτῶν ἄρα περιοδεύει ἕκαστος πλανήτης περὶ τὸν ἥλιον.

ΞΕΝΟΚΡ. Οὐ συνορῶ. λέγε οὖν σαφέστερον.

ΔΗΜΟΦ. Ἐν ἑκάστῳ τῶν σωμάτων ἐστί τις δύναμις κατὰ Νεύθωνα, συνάγουσα ταῦτα περὶ τὸ ἴδιον κέντρον καὶ ταύτην καλοῦμεν βαρύτητα. ἔστι δὲ καὶ ἑτέρα τις δύναμις γενικὴ ἐπὶ πάντων τῶν σωμάτων ἑλκυστική, δι' ἣν ἕκαστον ἐπὶ πάντα νεύει· καὶ τὰ

μι-

μικρὰ ἑνῦται τοῖς μείζοσι, καὶ συνέχεται τὰ μέρη ἐν τῷ ὅλῳ· κρατεῖ δὲ καὶ ἐφέλκει τὸ μεῖζον τὰ ἐλάσσονα· καὶ κατὰ ταῦτα κινεῖ, ἧπερ ἕλκει.

ΞΕΝΟΚΡ. Α'λλ' ἐδὲν ἐξ αὐτῶν ἀπόναιο πρὸς ἐμπέδωσιν τῦ συςήματος· ταυτὰ γὰρ εἰρήσεται καὶ περὶ αὐτῶν, ὅσα περὶ τῆς ἀποκέντρυ δυνάμεως καὶ βαρύτητος εἴρηται πρότερον.

ΔΗΜΟ'Φ. Α'λλ' ἐκ ἔςι πλῆρες τὸ πᾶν· κρατῦσι δὲ οἱ νόμοι τῆς ὁλκῆς καὶ βαρύτητος ἐν μέρει. διὸ τὸ μέγα τῦτο τῦ παντὸς σύνταγμα ἐκ τῶν κατὰ μέρος συςημάτων συγκροτεῖται· ταῦτα δὲ ἀπ' ἀλλήλων διὰ τῶν κενωμάτων διίςαται, καὶ πολλὰ μὲν τὰ κέντρα, ὅσα καὶ τὰ κατὰ μέρος συςήματα, καὶ οἱ νόμοι τῆς ὁλκῆς καὶ βαρύτητος ἴδιοι ἐν ἑκάςῳ.

ΞΕΝΟΚΡ. Ω῞ςε ἐκ ἔςι τις κοινωνία τῶν μερῶν τῦ παντὸς, εἴτυν τῶν κατὰ σὲ συςημάτων, ἀλλ' αὐτονομία ἰδιόῤῥυθμος, καὶ ἀπεσχοινισμένη περιαυλία.

ΔΗΜΟ'Φ. Μενῦν γε· ὥσπερ γὰρ γένη ἰχθύων ἐν μακροῖς πελάγεσιν, ὕτω τοι ἐν ἀπείρῳ κενῷ διαςήματι νωμῶνται ἄπλετα συςήματα πλανητῶν περὶ ἴδια κέντρα, τὰ αὐτόφωτα καὶ ἔμπυρα σώματα, καὶ κόσμοι ἄπειροί εἰσιν.

ΞΕΝΟΚΡ. Εὖγε τῆς καλῆς ὁμοιώσεως· ἀλλὰ πόθεν ἡμεῖς τῦ φωτὸς αὐτῶν ἐπαισθανόμεθα;

ΔΗΜΟ'Φ.

ΔΗΜΟΦ. Διά τινος λεπτοτέρας αἰθερίας ὕλης διϊέσης διὰ τῶν κενωμάτων.

ΞΕΝΟΚΡ. Οὐκοῦν εἰ ἡ φωτιςικὴ αὕτη ὕλη δίεισι διὰ τῶν κενωμάτων, οὐκ ἔςι τὸ κενόν σου τοῦτο, κενόν· ὕλην γὰρ ἔχει· καὶ πεπλήρωται ἄρα τὸ πᾶν, καὶ κοινωνίαν ἔχει τὰ μέρη, καὶ ἔνεςι, καὶ τῷ κοινῷ τῆς ὁλκῆς κατα Νεύθωνα νόμῳ ὑπόκειται· καὶ κέντρον κοινὸν ἔχει· καὶ εἰ μὲν τοῦτο τὴν γῆν λέγεις, ἔχω ὃ βούλομαι· εἰδὲ τὸν ἥλιον κατὰ Κοπέρνικον ὑποτίθης, ἕξεις τὴν ὁλκὴν καὶ βαρύτητα ἐπίκεντρον δύναμιν, καὶ αὐτόθεν τὸν ἔλεγχον ὡς εἴρηται.

ΔΗΜΟΦ. Ἀλλὰ τῶν πλανητικῶν σωμάτων τὰ κέντρα ἐςὶν ἐν ἑαυτοῖς, καὶ πρὸς ταῦτα ἐπιβαρύνει τὰ μέρη αὐτῶν, καὶ φέρεται· ἕλκεται δὲ ὑπὸ τοῦ ἡλίου, καὶ μήτε τῶν ἰδίων κέντρων δυνάμενα ἐκφυγεῖν, καὶ προσελθεῖν πρὸς τὸν ἥλιον, μήτε ἀφ᾽ ἡλίου φυγεῖν, περὶ αὐτὸν ςρέφεται.

ΞΕΝΟΚΡ. Ἔςω τὰ τῶν πλανητικῶν σωμάτων κέντρα ἐν ἑαυτοῖς, καὶ διὰ τῆς κεντρομόλου δυνάμεως ταύτης εἴτε βαρύτητος εἴτε ὁλκῆς κινείσθω τὰ μέρη κατ᾽ αὐτὰ, ἀλλ᾽ ἐκ τῆς δυνάμεως ταύτης σύνωσις, καὶ σύμπηξις, καὶ ὅλως εἰπεῖν ἕνωσις τῶν μερῶν ἐν τῷ ὅλῳ ἀποτελοῖτο· περιοδικὴ δέ τις κίνησις οὐκ ἂν γένοιτο. εἰ γὰρ ὁ ἥλιος ἕλκει ταῦτα, αὐτὰ

δὲ

δὲ ἐπὶ τὸ ἴδιον κέντρον διὰ τῆς κεντρομόλου δυνάμεως ἀνθέλκεται, καὶ νικᾷ ἡ πρὸς τὸ κέντρον ὁλκὴ ἐγγύθεν οὖσα τὴν ἀφ' ἡλίου πόῤῥωθεν γενομένην, οὔτ' ἂν ἀνιμᾶσθαι ἑλικῶς, οὔτ' ἂν διαῤῥήγνυσθαι τὰ πλανητικὰ σώματα, φαίης ἄν, οὐ μέντοι ἐντεῦθεν καὶ περιοδεύειν.

ΔΗΜΟΦ. Ἀλλ' ὥσπερ ἐπὶ τῆς ἠλεκτρικῆς μηχανῆς τὰ κύκλῳ ἐκπυρωθέντος τοῦ ἀέρος κοῦφα τῶν σωμάτων περιστρέφεται· οὕτω τοι καὶ τοῦ ἡλίου περιστρεφομένου περιάγεται τὰ πλανητικὰ σώματα· μικρὰ γὰρ ταῦτα· καὶ οἷα τὰ κάρφη ἐν τῷ ἀέρι, τοιαῦτα ἐν τῷ ἀπλέτῳ περὶ τὸν ἥλιον σώματι τὰ τῶν πλανητῶν σώματα.

ΞΕΝΟΚΡ. Ἀλλ' ἐκ τῆς νευθωνιακῆς συνολκῆς ἐπὶ τὴν καρτεσιανὴν δίνην, καὶ τὴν ἐκπύρωσιν αὖθις ἐμπέπτωκας, καὶ βαρυνόμενος παρωλίσθησας ἐπὶ τὴν κάμινον τοῦ κατὰ σὲ κεντρῴου πυρός. ἀλλ' ὁ ἀὴρ περὶ τὴν μηχανὴν συγκινούμενος βίᾳ, συμπεριάγει βίᾳ, τῇ περιστροφῇ τὰ κουφότερα, συμπεριφέρων ἑαυτῷ καὶ βιαίως κινῶν· ἐπὶ δὲ τῶν κατὰ φύσιν διαμενόντων αἵτε γενέσεις καὶ αἱ κινήσεις τὰς συνούσας δυνάμεις ἀναμερισάμεναι, στοιχοῦσιν εὐτάκτως, καὶ οὐδὲν ἐν τούτοις ἔξαλλον καὶ βίαιον. πῶς δὲ τὰ κουφότερα σύρουσι τὰ βαρύτερα καὶ ταῦτα τῆς ὁλκῆς

μείζονος ἔσης παρὰ τὸν ἥλιον; ἐδὲ γὰρ ἡ πρὸς τὸ ἴδιον κέντρον ὁλκὴ μείζων τῶν ἀπωτέρω· ἐδὲ ἡ βαρύτης πλείων ἐπὶ τὸ κέντρον τῶν μανωτέρων. πόθεν ἂν ἡ ἀντώθησις καὶ ὁ ἀποικισμὸς ἀφ' ἡλίε τῶν παχυτέρων σωμάτων, οἷοι κατὰ σὲ οἱ πλάνητες.

ΔΗΜΟΦ. Α'λλ' εἴησαν τὰ τοσαῦτα καὶ τηλικαῦτα σώματα ἀργὰ ἐν τῇ φύσει, εἰμὴ εἴησαν περιοικέμενα· τό, τε ἀνάλογον ἐν αὐτῇ ἐκ ἂν διατηροῖτο, καὶ τὸ ἐξ ὁμοίε ἐπιχειρεῖν ἦν ἂν ἐπισφαλές, καὶ μόνα ἄρα ὡς εἰπεῖν τὰ ἡμῖν ψηλαφώμενα ἦσαν γνωςά.

ΞΕΝΟΚΡ'. Τὰ τοσαῦτα καὶ τηλικαῦτα σώματα ἐπεριοικεῖται μέν, ἐδὲ γὰρ οἷοντε. ἐκ εἰσὶ δὲ ἀργά, τὸ παθητὸν τετὶ σῶμα ποικίλως καὶ πολυτρόπως διατιθέμενα, καὶ κινῦντα ὡς εἴρηται· ἥτε ἀναλογία ἐπὶ τῶν ὁμογενῶν χώραν ἔχει, ἐφ' ὧν καὶ κατὰ λόγον ἐπιχειρεῖν ἔξεςι. τίνα δὲ λόγον ἔχει, εἰ ἑκατὸν ναυπηγοὶ περὶ μίαν ἐνορῶνται νῆα διακριδὸν πονῦντες, ἑκατὸν νῆας εἰκάζειν τεκταίνεσθαι; τίνα δὲ λόγον ἔχει, εἰ πολλοὶ ἀςέρες, πολλὰ κέντρα εἶναι ἐν τῷ παντί, εἰ χρὴ λέγειν κέντρα, καὶ τὸ πᾶν λέγειν πᾶν, ὡς μὴ ἓν μηδὲ συνεχόμενον; πόθεν δὲ δῆλον ὅτι ὁ ἥλιος κέντρον; καὶ πῶς τόδε τὸ περὶ ἡμᾶς σύςημα τῶν ἀςέρων ἀργεῖ πρὸς ἡμᾶς, καὶ ἀπ' ἀλλήλων κεχώ-

ριςαι

ρίζαι ἕκαστος τῶν ἀστέρων, ἰδίας πλανήτας καὶ κόσμον ἐν μέρει κληρωσάμενος; ἀλλὰ ταῦτα ὑποθέμενοι, τὸ ἀνάλογον ἐπιζητεῖτε, καὶ τὸ ὅμοιον ἐκ τῶν περὶ τὴν γῆν συμβαινόντων ἐπιλογίζεσθε· ὡς εἰ ταῦτα ὕτως εἶχε, καὶ ἐξ αὐτῶν συμβάλλειν καὶ τἄλλα ὡσαύτως ἔχειν. ἀλλὰ καὶ ἡ ὑπόθεσις ὑμῶν ἄτοπος, καὶ παράλογος ἡ ὁμοίωσις.

ΔΗΜΟ΄Φ. Α᾿λλ' ἡ αἴσθησις ἡμᾶς ποδηγετεῖ εἰς τὴν τοιαύτην ὁμοίωσιν.

ΞΕΝΟΚΡ΄. Εὖγε τῆς αἰσθήσεως. ἀλλὰ τὶ μὴ καὶ ἡμᾶς εἰς ταῦτα ἄγει ἡ αἴσθησις;

ΔΗΜΟ΄Φ. Α᾿λλ' ἡ αἴσθησις ἡ τεχνική.

ΞΕΝΟΚΡ΄. Καὶ τίς ἐστιν ἡ αἴσθησις ἡ τεχνική; ξένα γὰρ λέγεις.

ΔΗΜΟ΄Φ. Ἡ ὅρασις βοηθυμένη δι ἀκριβῶν καὶ μεγάλων τηλεσκοπίων προσβεβαιοῖ τὴν ὁμοιότητα τῶν πλανητῶν μετὰ τῆς γῆς· καὶ ἐπίσης περὶ τὰς ἄλλυς ἀστέρας ὑποδεικνύει πλανήτας, καὶ τὰς κομήτας πλανήτας ἀποκέντρυς διαβεβαιοῖ.

ΞΕΝΟΚΡ΄. Ἡ ὅρασις βοηθυμένη ὑπὸ τηλεσκοπίων μεγεθύνει τὰ σώματα, καὶ πολλὰ ἐν τῷ ὐρανῷ ἢ ὅλως ἄοπτα, ἢ μικροφανῆ, μείζονα καὶ καταφανῆ παρίστησιν, ὁμολογῶ. ἐπεὶ δὲ διὰ μέσυ τῦ παθητῦ σώματος θεωρεῖ τὰ ὐράνια, καὶ ἐν αἰθέρι

 μα-

μάλιςα τῦ περὶ ἡμᾶς ἀέρος θεωρεῖ ἐπιτείνουσα τὴν ὄψιν, ὁρᾷ καὶ τὰ λανθάνοντα πόῤῥω πάθη τῦ ὑπεκκαύματος· μυρίαι γὰρ καὶ ἐν ἐκείνῳ αἱ συςάσεις καὶ διακρίσεις τῆς ὕλης, αἵτινες ἡμῖν διά τε τὴν ἀπόςασιν καὶ τὸ διαφανὲς ἐκεῖ τῆς ὕλης ἧττον γνωςαὶ ἁπλῇ τῇ ὁράσει. ταῦτα δὲ τὰ πάθη ἐπιπροσθῦντα νῦν μὲν σελήνῃ καὶ τοῖς λοιποῖς πλάνησι, ἄλλοτε δὲ καὶ αὐτοῖς τοῖς ἀπλανέσιν, οἱ μὴ προσέχοντες τῇ ἐποπτείᾳ, ἐκείνοις ταῦτα ἐπιλογίζονται. ἐντεῦθεν ἄρα αἱ μυςικαὶ ἀλλοιώσεις τῆς σελήνης, καὶ αἱ τῦ ἡλίυ κηλῖδες, καὶ τὰ ἐπὶ τῶν ἄλλων πλανητῶν τερατολογύμενα.

ΔΗΜΟΦ. Εὐλογώτερα ταῦτα δοκεῖ, ἢ ὁ βρασμὸς τῦ ἡλίυ, καὶ τὰ καιόμενα ἐν αὐτῷ ὄρη, καὶ ὁ ἐπ' αὐτὸν καγχλάζοντα αἰωρύμενος ἀφρὸς, καὶ εἰς λέμματα συνιςάμενος, καὶ ὁ ἐκθρώσκων ἐξ αὐτῦ ἐνίοτε λιγνυώδης καπνὸς, οἷα οἱ συςηματικοὶ ἦτοι περιθρῦσι. τοιαῦτα ἄρα καὶ τὰ φρέατα τῆς σελήνης τὰ εἰς βάθος κατωρυγμένα, καὶ οἱ συνιόντες ἐπ' αὐτὰ ποταμοί· καὶ ῥὶς ὀξυνομένη, καὶ παρειαὶ συμπίπτυσαι, καὶ ὅλως ῥυτιδύμενον πρόσωπον τῆς σελήνης, καὶ τἄλλα τὰ ὅμοια. τοιαῦτα δὲ καὶ τὰ τῆς Ἀφροδίτης κατάλιθα καὶ ἀπότομα ὀξύτατα καὶ πυκνότατα φραώδη ὄρη, καὶ ὅσα ἄλλα μυθεύεται περὶ τῶν πλανητῶν.

ΞΕΝΟΚΡ. Α'λλὰ καὶ ἀςέρες γεννώμενοι καὶ θνήσκοντες, καὶ κομῆται αὐτοὶ, συςάσεις ἄντικρυς εἶσὶ καὶ διακρίσεις τῦ ὑπ' ὀρανὸν παθητῦ σώματος, ἧττον ἡμῖν καταφανεῖς πρὶν ἐξεύρεσεως διὰ δὲ τηλεσκοπίων καὶ πρότερον ἐποπτανόμεναι. ὀ γὰρ ἂν πώποτε πείσειαν ὁρᾶσθαι τοιαύτας μεταβολὰς ἐν τῷ ὀρανῷ, ὡς αἴφνης φθείρεσθαι καὶ γεννᾶσθαι ἀςέρας, ἐξαίσια ὄντα σώματα μείζονα μυριάκις γῆς καὶ σελήνης.

ΔΗΜΟΦ. Α'λλὰ τὺς ἐκκεντρισμὺς τῶν κομητῶν καὶ περιοδεύσεις, καὶ καταδύσεις εἰς βάθος τῶν ἐπέκεινα κενωμάτων οἵας ὑπέλαβες;

ΞΕΝΟΚΡ. Καὶ ταῦτα ἄτοπα, καὶ παρὰ τὰς ἰδίας αὐτῶν ὑποθέσεις ἡγῦμαι· πρῶτον μὲν, ὅτι παραβολικὴν τὴν κίνησιν αὐτῶν ὑποτιθέασιν, ἥτις ὀκ ἂν ἐπὶ τὴν προτέραν ἀρχὴν διὰ βαρύτητος καὶ ἁπλῆς ὁλκῆς ἐπανακάμψειε· δεύτερον ὅτι καὶ ἐπ' εὐθείας κινυμένυς ἀςέρας, εἴτυν κομήτας ἑωρακέναι μαρτυρῦσι, καὶ τρίτον ἐν τῷ κενῷ διαθέειν ὑπερθέμενοι, περιόδυς καμπύλας ἐπιλογίζονται, καὶ χρόνυς ἀνακάμψεως ἀναμετρῦσι. ταῦτα γὰρ ὔτε διὰ τῆς κεντρομόλυ δυνάμεως καὶ γεννικωτάτης συνολκῆς κατὰ Νεύθωνα, ὔτε διὰ τῆς Καρτεσίυ δίνης μεθερμηνεύεται· ἐν γὰρ τοῖς κενώμα-

σι παύει τῶν ἐκτὸς σωμάτων ἡ ἐπενέργεια. ὅτε τις δίνη ἐπενεργεῖ· ὅτε ἡ ἀπόκεντρος καὶ ἐπίκεντρος δύναμις συνιῦσα σύμμικτον ὁδὸν ἐξ εὐθείας καὶ καμπύλης ἐλάσειεν. ὥςε οἷς μαρτυρῦσιν, αὐτοὶ τὰς σφῶν αὐτῶν ὑποθέσεις τύτοις καθαιρῦσι καὶ ἔχοντες προφανῆ τὸν ἔλεγχον ἐν ταῖς σκοπιαῖς ἃ συνῆσι, τῷ μεγέθει ὑπερεκπλαγέντες τῶν φαινομένων, καὶ τὰς σκιὰς διώκοντες.

ΔΗΜΟ'Φ. Α'λλ' εἰ καὶ φυσικῶς ταῦτα ὐκ ἀκριβολογῦνται, μαθηματικῶς μέντοι ὀρθώτατα ἀποδεικνύονται· καὶ γὰρ καὶ τὰς ἀποςάσεις αὐτῶν καὶ τὺς ὄγκυς ἐξεῦρον, καὶ τὰς περιόδυς ἀναμετρῦσιν. ὥςε εἰ τοσαῦτα καὶ τηλικαῦτα ἄπειρα μεγέθη σωμάτων ἐν τῷ παντὶ σύνεςιν, ἄτοπον ἄρα λέγειν αὐτὰ ταῦτα πάντα, τῦ ἐλαχίςυ, καὶ ὅπερ ὐδένα αἰσθητὸν λόγον ἔχει, οἷον ἡ γῆ, ὑπὲρ αὐτῦ καὶ πρὸς αὐτὸ καὶ εἶναι καὶ ἐνεργεῖν τὰ πάντα.

ΞΕΝΟΚΡ'. Καὶ εἴπερ τὸ κέντρον ἐν τῷ κύκλῳ σημεῖον ἐςὶν ἀμερὲς, καὶ ὐδένα λόγον πρὸς τὸν κύκλον ἔχει, ἄτοπον ἄρα κατά σε δι' αὐτῦ καὶ πρὸς αὐτὸ εἶναι τὸν κύκλον. ἀλλ' εἰ καὶ τοιῦτον, τοσῦτον ἐμπης ἀναγκαῖον, ὥςε διὰ τύτυ συνίςασθαι τὸν κύκλον. καὶ γῆ ἄρα κέντρον ὖσα τῦ παντὸς,

ἐλα-

ἐλαχίστη μὲν μεγέθει, δυνάμει δὲ μεγίστη ἐστί· οὐ γὰρ ἐδύνατο ἄλλως ἀπολαβεῖν τὴν ἐκ πάντων ἐνέργειαν, μὴ οὖσα κέντρον· ἀλλ' οὐδὲ εἰ εἶχεν αἰσθητὸν πρὸς τὸ πᾶν μέγεθος, κέντρον ἂν τοῦ παντὸς εἴη. ὥστε ἐκ τοῦ μὴ ἔχειν τὴν γῆν αἰσθητὸν μέγεθος πρὸς τὸν οὐρανὸν, ἔδει μᾶλλον ἐπιγινώσκειν αὐτὴν τοῦ παντὸς κέντρον, αἰσθήσεσι πειθαρχοῦντας· μαρτυρεῖ γὰρ ἡμῖν ἡ κοινὴ ὄψις, ὅτι τὸ κέντρον τοῦ παντὸς, ὥσπερ καὶ τῆς ὁράσεως ἐστι περὶ τὴν γῆν· αἵτε παρατηρήσεις καὶ αἱ ἀρχαὶ τῶν ἀναμετρήσεων καὶ ἀστρονομικῶν ἐπιλογισμῶν, ὡς ἀπὸ κέντρου τῆς γῆς εἰσιν. ὥστε ἐγὼ μὲν οὐκ οἶδα, εἰ ἀστρονόμος ἄνευ κύκλου ἐπιλογίσαιτο μεγέθη καὶ ἀποστάσεις ἀστέρων, καὶ περιόδους πλανητῶν, καὶ παραλλάξεις, καὶ ἀρχὴν ὅλως ὑπολάβοι ἐπιλογισμῶν ἀστρονομικῶν. αὐτοὶ δὲ γῆν μὴ τιθέμενοι κέντρον, καὶ τὸν οὐρανὸν μὴ κύκλῳ δεχόμενοι, οὐδ' ἂν ἔχοιεν λέγειν τῶν μὴ περὶ ἡμᾶς κυκλικῶς φερομένων, οὔτε τὰς ἀφ' ἡμῶν, οὔτε τὰς ἀπ' ἀλλήλων ἀποστάσεις, οὐδὲ παραβάλλειν αὐτῶν τὰ μεγέθη, ἢ ψευδεῖς καὶ ἀνυπάρκτους περιγράφοντες κύκλους ψιλῇ ἐπινοίᾳ, ὡς βούλονται. ἀλλ' ἔλαθον κἂν τούτοις τὰς ἀρχὰς τῶν ἀναλογισμῶν καὶ ἐπιμετρήσεων, παρὰ τῶν ἀπαρεσκομέ-

νων

νων σφίσι παραλαβόντες, ξένοις πτεροῖς, ὃ λέγεται καλλωπιζόμενοι, καὶ τεχνικοῖς καὶ περιάπτοις κατὰ τὸν Ἴκαρον, οὐκ εἰς πέλαγος τῶν ἐγγὺς, ἀλλ' εἰς χάος οἰχόμενοι.

Τῆλε μάλ' ἧχι λύγαια ὑπὸ ζόφον αἰνὰ βέρεθρα.

# ΔΙΆΛΟΓΟΣ Δ́.

Ἐκ τῶν μετὰ συνέσεως ὁμιλιῶν τȣ̃ αὐτȣ̃.

## ΔΙΑ´ΛΟΓΟΣ Δ´.

Α᾿ρισόβυλος ϗ Ε῾ρποκράτης.

Ε῾ΡΠΟΚΡ´. Ω῾ χριςιανὸς ϗ φιλόσοφος, ἀδύνατον.
Α᾿ΡΙΣΤΟ´Β. Καὶ πῶς;
Ε῾ΡΟΚΡ´. Ο῾ χριςιανὸς ἐςιν ἁπλῦς.
Α᾿ΡΙΣΤΟΒ. Καὶ τῷ ὄντι ὕτως ὀφείλει, ϗ εἰς τῦτο σπεύδει. τοιαύτη γὰρ ἡ προτέρα κατάςασις τῦ ἀνθρώπυ. ἡ δὲ διπλόη ὕςερον ἐπεγένετο ἐκ τῆς κακίας. διὰ τῦτο ϗ κατεγνωσμένη ἐςι, γέννημα ὂν τῆς ἐπιβυλῆς εἰς κακίαν συντρέχον, ϗ πονηρία ὀνομάζεται. ὅτε ἦν παρέβη ὁ ἄνθρωπος τὴν ἐντολὴν τῦ θεῦ, τότε ἐξέπεσε τῆς ἁπλότητος· ϗ ἐξαπατηθεὶς ἀπὸ τῦ πονηρῦ εἰς τὰ σκολιὰ ἐξετράπη ὥςε εἰ ὁ σκολιὸς ϗ πονηρὸς, ἐςὶ θεοςυγὴς, ὁ χριςιανὸς πάντως ὀφείλει εἶναι ἁπλῦς.

Ε῾Ρ-

ΕʹΡΠΟΚΡʹ. Αʹλλο ἐγὼ εἶπον.

ΑʹΡΙΣΤΟʹΒ. Τί δέ;

ΕʹΡΠΟΚΡ. Οἱ λεγόμενοι ἰταλιςὶ μπόνοι, αὐτοὶ μόνοι ἴσως εἰσὶ ϗ χριςιανοὶ. οἱ ἐπιςήμονες ὅμως ϗ σοφοὶ, ἀδύνατον.

ΑʹΡΙΣΤΟʹΒ. Ωʹ τοῦ ἀλλοκότου φρονήματος. ἀλλὰ πῶς; ϗ διατί;

ΕʹΡΠΟΚΡʹ. Διότι ἡ χριςιανικὴ πίςις ἐςιν ὑπερφυὴς, ϗ ταύτης τὰ δόγματά εἰσιν ὑπὲρ λόγον. ἀδύνατον ἐν ἄνθρωπον φυσικὸν ϗ λόγῳ χρώμενον, ταῦτα ἀποδέχεσθαι ϗ πιςεύειν. εἰ ἄρα τις ἔχει τὸν ἐν ἡμῖν λόγον ἀργὸν, ϗ ἀγνοεῖ τὴν φύσιν, ἐκεῖνος δέχεται τὰ ὑπὲρ φύσιν ϗ ὑπὲρ λόγον. τοιοῦτοι εἰσὶν οἱ κοινοὶ ἄνθρωποι, οὓς ϗ ἁπλοῦς ὀνομάζομεν, αὐτοὶ γοῦν πιςεύουσιν. οἱ δὲ σοφοὶ ϗ ἐπιςήμονες ἄνευ τοῦ κατὰ φύσιν λόγου, πῶς δύνανται πιςεῦσαι; ὥςε καλῶς εἶπον χριςιανὸς ϗ φιλόσοφος, ἀδύνατον.

ΑʹΡΙΣΤΟʹΒ. Εἰ μὲν ταῦτα ἐριςικῶς λέγεις ἀποπειρώμενος τῆς ἐν ἐμοὶ τῶν λόγων δυνάμεως, πέραν τοῦ δέοντος προήχθης. εἰδὲ ϗ φρονεῖς ταῦτα, ἐπαγγελλόμενος ἐπιςήμων εἶναι, ἐφανέρωσας σεαυτὸν τῶν κατὰ σὲ μπόνων χείρονα, οὕτω φρονῶν ϗ συλλογιζόμενος, φωνὰς μόνον περιθροῶν, ἃς ἐκ τῶν κοινων ὁμιλιῶν παρείληφας, μηδεμίαν ἐξακριβώσας

βῶνας κατὰ σύνεσιν, ϰ̀ μήτε φύσιν, μήτε λόγον τὸν ἐν ἡμῖν, ὡς πέφυκεν ἔχειν εἰδώς.

ἙΡΜΟΚΡ. Εἴ τι ἔχεις εἰπεῖν λέγε. μὴ μέντοι ὕβριζε.

ἈΡΙΣΤΟΒ. Οὔτι ὑβρίζω· σὺ δὲ μωρὸς τὸς χριστιανὸς λέγων ὑβρίζεις· ἐγὼ μέντοι σοι δείξω Α΄. ὅτι πάντες οἱ πιστεύοντες τοῖς ὑπὲρ λόγον πρεσβευομένοις τῶν χριστιανῶν δόγμασι, κατὰ λόγον πιστεύουσι. Β΄. ὅτι ὁ ὀρθὸς ἐν ἡμῖν λόγος οὐκ ἀντιπράττει, ἀλλὰ συνεργεῖ εἰς τὴν χριστιανικὴν πίστιν, ϰ̀ ἡ ἀληθὴς φιλοσοφία ἐνάγει καθοδηγοῦσα ἐπὶ τὴν ἐσχάτην μακαριότητα τὸν ἄνθρωπον. ὥστε οἱ τῆς χριστιανικῆς πίστεως ὀρθῶς ἀντεχόμενοι, ἀληθῶς εἰσι σοφοί· ϰ̀ οἱ ὀρθῶς φιλοσοφοῦντες ἐπὶ τὴν πίστιν προσέρχονται. διὸ ἐπάνελθε εἰς σεαυτὸν, τὰς ἀλόγους ἀποῤῥίψας προλήψεις· ϰ̀ τῷ ὀρθῷ λόγῳ χρώμενος ἐπίστηθι, συνετῶς ἀκούων, καὶ μοι ἀποκρινόμενος.

ἙΡΜΟΚΡ΄. Λέγε σαφῶς. ἐγὼ δὲ σὺν λόγῳ ἀληθῶς ἐπακολουθήσω, ϰ̀ συνετῶς ἀποκριθήσομαι.

ἈΡΙΣΤΟΒ. Ἡ χριστιανικὴ πίστις ἐστιν ὑπερφυὴς ὡς ὁμολόγησας.

ἙΡΜΟΚΡ΄ Ὁμολογῶ. ἀλλὰ τί τοὐντεῦθεν;

ἈΡΙΣΤΟΒ. Ἐπερωτῶ, τοιαύτη οὖσα ἐστιν ἑαυτῇ σύμφωνος, ἢ οὐχί;

ἙΡΜΟΚΡ. Οὐ συνεννοῶ τί λέγεις.

ἈΡΙΣ-

ΑΡΙΣΤΟΒ. Ἐρωτῶ, εἰ σύμφωνα ἐν αὐτῇ, αἱ ἀρχαὶ, τὰ μέσα, τὰ τέλη.

ΕΡΠΟΚΡ. Σύμφωνα, ὡς πιςεύεται, ὑπερφυὴς ἡ ἀρχὴ, ὅτι Θεὸς ὁ ἀποκαλύπτων ϗ τερατουργῶν. ὑπερφυῆ τὰ μέσα, μυςήρια, ἐντολαὶ, χαρίσματα. ὑπερφυῆ τὰ τέλη· ἀνάςασις, ζωὴ αἴδιος, ϗ μακαριότης.

ΑΡΙΣΤΟΒ. Προλάμπει ἄρα αὕτη ἡ ἐκ τῆς ἀρχῆς διὰ τῶν μέσων ἐπὶ τὰ τέλη συμφωνία, ϗ ἥκιςα τῷ ὀρθῷ λόγῳ ἀντιβαίνει· ϗ κατὰ λόγον αὐτὴν δέχεται πᾶς τις ὁ δεχόμενος, ἐάν τις σοφὸς ᾖ, ἐὰν τις ὡς λέγεται ἰδιώτης.

ΕΡΠΟΚΡ. Κατὰ λόγον μὲν δέχεται, ὁμολογῶ· ὀχὶ δὲ ϗ διὰ λόγȣ, εἴπερ κρείττων ἡ πίςις τȣ̃ λόγȣ.

ΑΡΙΣΤΟΒ. Κατὰ λόγον μὲν δέχεται ἕκαςος, ὅτι ὀκ ἀντιπίπτει τῷ λόγῳ, ὡς αἱ τῶν αἱρετικῶν, (καλῶ δὲ τὰς παρὰ τὴν ὀρθὴν πίςιν αἱρετικὰς) παράλογοι ὄσαι. ὀ διὰ λόγȣ δὲ τȣ̃ ἐν ἡμῖν κατὰ φύσιν, ἀλλ᾽ ὡς ἐκ λόγȣ διὰ λόγȣ κρείττονος· ὁ γὰρ ἐν ἡμῖν ὀρθὸς λόγος, αὐτὸ ὢν ὀρθὸς ϗ ὑγιὴς, ἐκ τȣ̃ κατὰ φύσιν συνορᾷ πως τὰ κρείττω, ἐκ τῶν γεννητῶν λογιζόμενος τὰ ὄντα, ϗ ἐκ τῶν φθειρομένων τὰ μένοντα, ϗ ἐκ τῶν φυσικῶν τὰ ὑπερφυῆ· ϗ κινȣ́μενος ἔνδοθέν πως, ἀπονεύει πρὸς ἐκεῖνα, κἀκείνων ἐρᾷ κατὰ φύσιν ἔχων· ἀλλὰ ἀσθενῶς ϗ νο-

νοσηρῶς ἢ διὰ τὴν προσοῦσαν ἀσθένειαν, ἢ διὰ τὴν ἐπιγενομένην κακίαν, ἐρᾷ μέντοι, καί πως πρὸς ἐκεῖνα νεύει· οὗτός ἐστιν ὁ κατὰ φύσιν τρόπος· καθ' ὃν ἕκαστος, τηρήσας τὴν φύσιν, καὶ τὸν λόγον ὀρθὸν ἔχων, πρὸς τὰ ὑπερφυῆ ἀπονεύει· δεῖται μέντοι τοῦ συνεργοῦντος, ἵνα ἐπ' ἐκείνοις προχωρήσῃ μᾶλλον, καὶ βεβαιωθῇ περιγενόμενος τῆς κατὰ τὸ σῶμα συμπαθείας καὶ ῥοπῆς, καὶ φυγὼν τὰ πάθη. δεῖται ἄρα ἰσχυροῦ λόγου, βοηθοῦντος καὶ ἐξαίροντος καὶ συνενοῦντος τοῖς ἀϊδίοις, καὶ πρὸς ταῦτα ποδηγετοῦντος καὶ ἐλλάμποντος, καὶ πάντα ὑπὲρ αὐτοῦ γενομένου, αὐτός ἐστιν ὁ Θεὸς Λόγος. διὰ λόγου ἄρα κρείττονος, καὶ ἰσχυροῦ καὶ τοῦ ὄντως ἀληθοῦς ἡ πίστις, καὶ οὐκ ἄλογος, ὡς ταύτην ἐβλασφήμησας.

ΕΡΜΟΚΡ'. Ἀληθῶς οὕτως ἔχει ὁ ἐν ἡμῖν ἄνθρωπος, ὥσπερ ἐξέθου. ἀλλὰ πόθεν δῆλον, ὡς ὁ ἔχων κατὰ φύσιν ὀρθὸν τὸν λόγον, εὗρε τὸν ὄντως ἀληθῆ λόγον τὸν συνεργοῦντα καὶ ἀντιλαμβανόμενον, καὶ ὁδηγοῦντα πρὸς τὰ ἀΐδια, κἀκείνῳ ἐπίστευσε καὶ ἀκολουθεῖ;

ΑΡΙΣΤΟΒ. Οὐχ εὑρίσκει ὁ ἐν ἡμῖν ὀρθὸς λόγος τὸν ὄντως ἀληθῆ λόγον. διὰ τοῦτο ἡ πίστις οὐ διὰ τοῦ ἐν ἡμῖν ὀρθοῦ λόγου, ἀλλ' αὐτὸς ὁ ἀληθὴς λόγος καταλαμβάνει τὸν ἐν ἡμῖν ὀρθὸν λόγον, καὶ καταλάμπει τῇ θεϊκῇ αὐτοῦ παρουσίᾳ κατὰ φύσιν

ἔχον-

ἔχοντα, ϗ ὁδηγεῖ, ϗ ςηρίζει, ϗ ἀνάγει εὐμαρῶς ϗ τελείως εἰς τὰ ὑπὲρ φύσιν· ϗ τϋτῳ ἑπόμενος ὁ ἐν ἡμῖν λόγος ϗ πιςεύων, προάγεται ἐπέκεινα ϗ συνενϋται, ϗ ἀξιϋται μακαριότητος.

ΕΡΠΟΚΡ΄. Ὁ ἄνθρωπος ϋν ϋχ εὑρίσκει τὴν πίςιν, ἀλλ᾽ ἡ πίςις τὸν ἄνθρωπον.

ἈΡΙΣΤΟΒ. Καὶ ὄντως ἡ ἀληθὴς πίςις, ϋκ ἔςι κατὰ ἄνθρωπον, ϋδὲ ἀνθρωπίνοις λογισμοῖς συνεςάθη, ἀλλ᾽ ἔςιν ἐκ Θεϋ. αὐτὸς ὁ Θεὸς λόγος ἀπ᾽ ἀρχῆς ϋκ ἔπαυσε παιδαγωγῶν ϗ διδάσκων τὸν ἄνθρωπον. ϗ πολλὰ οἰκονομήσας, τελευταῖον διαῤῥήδην ὡμίλησε τοῖς ἀνθρώποις, ϗ διηνεκῶς ὁμιλεῖ τοῖς ἀξίοις, ϗ δι ἑαυτϋ καταλάμπων ϗ ὁδηγῶν τϋς αὐτῷ πιςεύοντας ἀνάγει εἰς τὴν μακαριότητα.

ἙΡΠΟΚΡ΄. Ὥςε κατὰ τϋτον τὸν λόγον Α΄. ἀνάγκη τϋς χριςιανϋς κεκαθαρμένας ἔχειν τὰς ψυχὰς τῶν ἐπιῤῥήτων παθῶν· Β΄. ἔχειν ϗ τὸν κατὰ φύσιν λόγον ὑγιᾶ· ϗ Γ΄. ἡνωμένϋς εἶναι τῷ Θεῷ λόγῳ, ἵνα ὦσι χριςιανοί.

ἈΡΙΣΤΟΒ. Καὶ τῷ ὄντι οἱ ἀληθεῖς χριςιανοὶ τοιϋτοί εἰσι, καθαροὶ τὸν βίον, συνετοὶ ϗ εὐγνώμονες, ϗ ἀῤῥήτοις ὁμιλίαις συνημμένοι τῷ Θεῷ λόγῳ· ϗ ὔτε τὸν βίον μοχθηροὶ ϗ βέβηλοι, ὔτε τὴν γνῶσιν μωροὶ, ὡς σὺ κατελοιδόρησας, διότι ἀδύνατον, ἐὰν μήτις ἔλθῃ εἰς τὸ κατὰ φύσιν, τϋ-

τον

τον ἄξιον γενέσθαι τῶν ὑπὲρ φύσιν, ϗ θεȣ̃ μυστικῆς ὁμιλίας τυχεῖν· παρὰ φύσιν γὰρ πᾶσα κακία ϗ μοχθηρία τοῖς ἀνθρώποις ϗ ἐςὶ ϗ λέγεται.

ΕΡΜΟΚΡ' Σὺ ȣ̓̃ν τȣ̀ς χριςιανȣ̀ς τελειοτέρȣς τῶν ἀνθρώπων πρεσβεύεις;

ΑΡΙΣΤΟΒ. Καὶ ὄντως οἱ ἀληθεῖς χριςιανοὶ, οἱ τελειότεροι τῶν ἀνθρώπων εἰσὶν, ὅτι ϗ καθαροὶ τὸν βίον, ϗ εὐθεῖς τὴν γνώμην, ϗ περὶ τὰ δόγματα ἀπλανεῖς, ϗ οἰκεῖοι θεȣ̃, θεόφιλεῖς ὄντες ϗ θεῷ ἡνωμένοι.

ΕΡΜΟΚΡ'. Α'λλὰ πόθεν ἡ τοιαύτη τελειότης; εἰ μὲν ἐκ θεȣ̃, ἵνα τί μὴ πάντες; εἰ δὲ ἐξ ἡμῶν, κατὰ φύσιν ἄρα ϗ κοινή.

ΑΡΙΣΤΟΒ. Εἴρηται ἐκ πίςεως· ἡ δὲ πίςις ἐκ θεȣ̃, ϗ διὰ θεȣ̃ ἐςὶν ἐπὶ τὰ ἐλπιζόμενα.

ΕΡΜΟΚΡ'. Αὐτὸ δὲ τȣ̃το ἐρωτῶ· εἰ ἡ πίςις ἐκ τȣ̃ θεȣ̃ ϗ διὰ θεȣ̃ τελειοῖ τὸν ἄνθρωπον, ἐπὶ πάντων κοινή ἐςιν ἢ ἐν τισι; εἰ μὲν ἐπὶ πάντων, διατὶ μὴ πάντες πιςοί; εἰ δὲ ἐν τισι, τίνος ἕνεκα αὐτῶν μόνων ἡ πίςις;

ΑΡΙΣΤΟΒ. Περὶ τȣ́τȣ ἔςιν ἴδιος λόγος, ἔνθα περὶ τȣ̃ ἐν ἡμῖν αὐτεξȣσίȣ γίνεται θεωρία· ἡμεῖς δὲ κατὰ τὰ ἀπ' ἀρχῆς ζητȣ́μενα, εὕρομεν τὸν ἐν ἡμῖν ὀρθὸν λόγον ȣ̓κ ἀντιπίπτοντα τῇ ὀρθῇ πίςει τῶν ὑπερφυῶν, ἀλλ' ἐπ' αὐτὴν ἀνάγοντα, εἰ ϗ αὐτὸς

ἐκεῖσε ἀνελθὼν, ἵςαται. ὥςε πᾶς τις νῷ καθαρῷ προσχὼν, τὸν ὄντως ἀληθῆ λόγον παραλαμβάνει ὁδηγὸν ἐπὶ τὰ ὑπερφυῆ, ᾗ ἐπέκεινα τῆς ἐκ τῶν αἰσθημάτων χαμερπᾶς γνώσεως.

ΕΡΜΟΚΡ. Ἀλλ' ἡ κάθαρσις αὕτη καὶ ἐπὶ τὸν ὀρθὸν λόγον ἀγωγὴ, καὶ οἱ ἐξ αὐτοῦ καὶ κατ' αὐτὸν ἐγγινόμενοι μυωπισμοὶ ἐπὶ τὰ ἄνω καὶ ἀΐδια, οὐδὲ ταῦτα κοινά εἰσιν, οὐδὲ πᾶσι πρόχειρα.

ΑΡΙΣΤΟΒ. Ἀληθῶς εἶπας· δι' αὐτὸ τοῦτο καὶ ἔξωθέν τινες ἐπικουρίαι καὶ βοήθειαι ἀναγκαῖαι· καὶ ἔσωθεν ἐπιςασίαι καὶ προσοχαὶ· ἵνα γένηται ἡ κάθαρσις, καὶ διεγερθῇ ὁ πόθος τῶν ἀϊδίων, καὶ ἐπιλάμψῃ ἐν τῇ ψυχῇ ὁ νοητὸς ἥλιος, ὁ ΘΕΟΣ ΛΟΓΟΣ.

ΕΡΜΟΚΡ. Καὶ κατ' αὐτὸ ἄρα εἰσάγεις ἀναγκαίαν τὴν φιλοσοφίαν, τὴν φρόνησιν, τὴν διδασκαλίαν, τὸν κατ' ἀρετὴν βίον, τὴν καλὴν ἀγωγήν· ἀλλὰ καὶ τὰ παράδοξα· προφητείας, δυνάμεις, θαύματα.

ΑΡΙΣΤΟΒ. Ἀναγκαιότατα· διὰ τοῦτο καὶ ὁλικῶς ταῦτα προήγαγε καὶ ᾠκονόμησεν ὁ θεὸς λόγος ἐπὶ τὴν ἕνωσιν αὐτοῦ μετὰ τοῦ ἀνθρώπου, καὶ καθ' ἑκάςην ἐνεργεῖ οἰκονομῶν ἕκαςον, ἄχρις οὗ ἑνωθῇ αὐτῷ, καὶ ἐπὶ τὴν μακαριότητα ἀναγάγῃ, ὅλον συγκεράσας ἑαυτὸν τῷ πιςεύοντι.

ΕΡΜΟΚΡ. Ἐγὼ ἐπ' ἀληθείας αὐτὰ πρότερον ἤκουον μὲν, ἀλλ' οὐδὲν ἐνόουν· νῦν δὲ κατανοῶ, ὅτι πάντα

θαυ-

θαυμάσια, ἀληθῆ ϗ σοφίας γέμοντα, σύμφωνα ἑαυτοῖς, ϗ μηδαμῶς ἀντιπίπτοντα τῷ ἐν ἡμῖν ὀρθῷ λόγῳ, θεοπρεπῆ ϗ ἅγια τὰ τῆς χριςιανικῆς ὁμολογίας· ἔμαθον δὲ ὅτι ἡ ἀληθὴς πίςις ἔχει ȣ̓ λόγον ἁπλῶς, ἀλλὰ τὸν θεὸν λόγον ἐνεργȣ̃ντα ϗ πείθοντα· ϗ ἔςιν ἄρα μετὰ τȣ̃ ἰσχυρȣ̃, ϗ τȣ̃ ὄντως ἀληθȣ̃ς λόγȣ, διὰ τȣ̃το ϗ ἔχει ὑπερφυεῖς δυνάμεις· ὑπείκει δὲ ϗ ȣ̓κ ἀντιβαίνει ὁ ἐν ἡμῖν ὀρθὸς λόγος, καί πως ὑπεργεῖ· ἀλλὰ πολλοὶ χριςιανοί εἰσιν ἰδιῶται.

ἈΡΙΣΤΌΒ. Τῷ κατ᾽ εὐςομίαν λόγῳ, ἀλλ᾽ ȣ̓ τῇ γνώσει· πῶς γὰρ ὁ τὸν βίον καθαρὸς, ϗ εὐθὺς τὴν γνώμην, ϗ περί τὰ δόγματα ἄπταιςος, τὸν ἔρωτα ἀνατείνας πρὸς τὰ αἴδια, ἐκεῖνα τῶν ῥεόντων ἀνταλλασσόμενος, μικρὰ φροντίζων τῶν ἐπὶ γῆς, ἤδεν προτιμῶν τȣ̃ ὄντως ἀληθȣ̃ς ἀγαθȣ̃, ἰδιώτης τὴν γνῶσιν;

ἙΡΠΟΚΡ΄. Ἀλλ᾽ ȣ̓ πάντες οἱ χριςιανοὶ τοιȣ̃τοι.

ἈΡΙΣΤΌΒ. Ἀλλ᾽ οἱ μὴ τοιȣ̃τοι, ὀνόματι μόνον εἰσὶ χριςιανοὶ· ἀλλ᾽ ȣ̓ περὶ αὐτῶν ὁ λόγος· ἀλλὰ περὶ τῶν ἀληθῶν χριςιανῶν.

ἙΡΠΟΚΡ΄. Ἀλλ᾽ οἱ μὴ ἰδιῶται τὴν γνῶσιν, φιλόσοφοί εἰσιν· ἀλλ᾽ ȣ̓́τε πάντες οἱ ἀληθεῖς χριςιανοὶ φιλόσοφοι, ȣ̓́τε πάντες οἱ φιλόσοφοι χριςιανοὶ· κατὰ δὲ τὸν σὸν λόγον ἐπάναγκες ἑκάτερον.

ἈΡΙΣ-

Α'ΡΙΣΤΟΒ. Εἰ ἡ φιλοσοφία ἐστὶ φιλία σοφίας κα-
τὰ τὸ ἔτυμον, ἀληθεύει ἑκάτερον· ὥστε οἱ ἀλη-
θεῖς χριστιανοὶ εἰσὶν οἱ φιλόσοφοι, ὅτι θεοφιλεῖς
εἰσι· ϗ οἱ φιλόσοφοι ὅταν ὦσιν ἀληθεῖς φιλόσο-
φοι, εἰσὶν ἀληθεῖς χριστιανοὶ, ἐπεὶ διὰ τῆς ἀπαλ-
λαγῆς τῶν παθῶν, ϗ τῆς συγκράσεως, μᾶλλον δ'
εἰπεῖν ἑνώσεως μετὰ τοῦ Θεοῦ Λόγου προσεκτήσαντο
κατὰ τὸ δυνατὸν τὴν ὁμοίωσιν τῷ Θεῷ, ϗ τοὔνομα
κατὰ τὸν αὐτοῦ ὁρισμὸν, εἴπερ ἡ φιλοσοφία με-
λέτη θανάτου, ϗ Θεῷ κατὰ τὸ δυνατὸν ὁμοίωσις
ὁρίζεται· ϗ σοφοὶ ἄρα μόνοι οἱ ἀληθεῖς χριστια-
νοὶ· ϗ γὰρ σοφὸς ὁ τῶν ἀϊδίων ἔχων τὴν γνῶσιν,
ϗ διὰ πράξεως πρὸς ταῦτα σπεύδων, ϗ τούτοις ἑνού-
μενος; ἀλλ' ἡ χρῆσις πολλαχῶς ἐξέλαβε τὸ ὄνο-
μα ἑκάτερον· πλατυτέρως μὲν ϗ ἐπὶ τοὺς ἐξησκη-
μένους τὰς λογικὰς μαθήσεις, ϗ ἐγκυκλίους ἐπι-
στήμας ϗ τέχνας, ἰδιαιτέρως δὲ ἐπὶ τῶν μεταφυ-
σικῶν θεωριῶν· οὐκ ἔστι δὲ σημαντικὸν τῶν ὑπερφυ-
ῶν δογμάτων ἰδίως, ὡς τὸ τῆς πίστεως. ὃ μέντοι
ἀντίκειται· ἡ δὲ παράχρησις ἐξεφαύλισε, ϗ τοῦτο
τὸ ὄνομα, ϗ ἀπ' ἐναντίας ἔστησε τοῦ χριστιανισμοῦ,
ὡς ϗ σὺ ὑπέλαβες· εἶπες γὰρ ἐν ἀρχῇ ὅτι χρι-
στιανὸν ϗ φιλόσοφον εἶναι, ἀδύνατον.

Ε'ΡΜΟΚΡ. Εἶπον οὕτως, ϗ οὕτως ἐφρόνουν· ὅτι ἀκούω

ἐν

ἐν ταῖς ἀκαδημίαις τῶν Εὐρωπαίων, ἐδεὶς τῶν φιλοσόφων φρονεῖ τὰ τῶν χριςιανῶν.

ΑΡΙΣΤΟΒ. Ἄπαγε τῆς τοσαύτης βλασφημίας, ὅτι ἐκ τῦ μέρες ἀδίκως ἢ παραλόγως καταγινώσκεις ἢ κατακρίνεις, ψευδῶς μαρτυρῶν κατὰ πάντων. ἐν γὰρ ταῖς διατριβαῖς τῶν λόγων, εἰσὶ ἢ πολλοὶ τὸν βίον μοχθηροὶ, πολλοὶ δὲ ἢ περὶ τὲς λόγες ἀψίκοροι, πλείονες δὲ ἢ περὶ τὰς κοινὰς δεξιότητας, εἴτεν τέχνας ἢ ἐπιςήμας μαθηματικὰς ἀπασχοληθέντες, μηδὲν περὶ τῶν ὑψηλοτέρων φροντίσαντες, τῦ δὲ πλείονος ἀντεχόμενοι φιλόσοφοι ὀνομάζονται, ἵνα δοκῶσι συμπάσης ἐμφορηθῆναι τῆς γνώσεως· ἔτοι μὴ εἰδότες ὔτε τὰ τῶν φιλοσόφων, ὔτε τὰ τῶν χριςιανῶν, πλημμελῦσιν· εἰσὶ δὲ καί τινες ἐν τοῖς φυσικοῖς, ἢ κακῶς ἀχθέντες, ἢ περιπαθῶς ἐπιςήσαντες, οἱ ἢ κατέπεσον ἀπὸ τῆς φύσεως ὀλισθήσαντες, μηδαμῶς ἀνακύψαντες. οἳ ἢ πάντα κατὰ τὰ ςοιχεῖα τῦ κόσμε φρονεῖν θέλοντες, ἐμωράνθησαν, εἰδωλολατρείαν λεληθότως νοσῦντες, ἰλιγγιῶντες εἰς βάθος τῆς ὕλης ἢ ἐξικάμενοι· τέτων δὴ ἡ σοφία φανερά τις ἐςὶ μωρία, ἢ μακρὰν ἀπ' αὐτῶν ἡ κατὰ τὸν ἐν ἡμῖν ὀρθὸν λόγον προτέλεσις ἢ ἡ θεοπάροχος πίςις.

ΕΡΠΟΚΡ. Ἡ πολλὴ γῦν μελέτη τῆς φύσεως βλάπτα,

ται, ϗ πρόσκομμα γίνεται εἰς τὴν ὀρθὴν πίςιν· διὰ τῦτο ϗ ὁ φυσικὸς λογισμὸς ἀπ᾽ ἐναντίας ἐςὶ τῦ ὑπερφυσικῦ, ϗ ὁ φυσικὸς τρόπος ϗ λόγος, ϗ ὁ φυσικὸς ἄρα ἐπιςήμων ὐδὲ αὐτὸς χριςιανός.

ἈΡΙΣΤΟΎΒ. Οὔτε ἡ πολλὴ ὔτε ἡ ὀλίγη μελέτη τῆς φύσεως, ὅταν γένηται ὀρθὴ ϗ μετὰ συνέσεως βλάπτει· τὐναντίον δὲ μάλιςα ὠφελεῖ, ϗ κλίμαξ τις γίνεται πρὸς τὰ μεταφυσικά. ὐδὲ γὰρ αὐταὶ αἱ αἰσθήσεις ἀργῦσι, κάλλος ϗ μέγεθος, ϗ θέσιν ϗ τάξιν ἐν τοῖς ὁρωμένοις καταγγέλλυσαι, ϗ τὸν νῦν εἰς τὰ ἐπέκεινα διανιςῶσαι, ϗ τὸ ὅλον σύςημα ὐρανῦ ϗ γῆς ὁλικῶς ϗ ἐν μέρει διδάσκει ἡμᾶς καθορώμενον, ἀνατρέχειν ἐπὶ τὰς ἀρχὰς τῶν τοιύτων θαυμασίων, ϗ τὰ ἀόρατα θεωρεῖν· ὁ δὲ τρόπος ϗ ἡ μοχθηρία τινῶν ἀτάκτως ϗ πλημμελῶς ἠσχολημένων περὶ τὴν φυσικὴν μελέτην ἐξεφαύλισε τὸ ὄνομα.

ἙΡΜΟΚΡ. Καὶ τίς ὁ πλημμελὴς ϗ ἄτακτος τρόπος τῆς θεωρίας τῶν αἰσθητῶν;

ἈΡΙΣΤΟΎΒ. Ἡ ἐπὶ τὰς προσεχεῖς αἰτίας ςάσις, ἡ περὶ τὰς φαινομένας ὡραιότητας ἐπιτροχάδην ὡς εἰπεῖν διατριβή· ἡ προσπαθὴς τῶν αἰσθημάτων ἀγάπησις· ὁ διὰ τὴν ἐγγενομένην ἐξ αὐτῶν ἡδονὴν ἐνθειασμός· διὰ ταῦτα ἢ μὴ δυνάμενοι, ἢ μὴ βυλόμενοι, καταπίπτυσί τινες, μηδὲ τῆς φύσεως ἐφικόμενοι· ἡ γὰρ φύσις ἐςι μὲν τύτων ἁπάντων αἰτία,

ἐςι

ἐςι δὲ ἀεὶ κινεμένη ᾗ κινεσα ἀρχή· ᾗ εὐθὺς ἀνάγει ἡμᾶς ἐπὶ τὸν κινεντα, ᾗ πρὸς τὸ τέλος, δι' ὃ πάντα κινεῖται. αὐτοὶ δὲ ἀπολειπόμενοι ᾗ τῆς φύσεως, τυφλώττεσιν ὅλως πρὸς τὰ ὑπερφυῆ, ᾗ κακῶς φυσικοὶ λέγονται, αἰσθητικοὶ μᾶλλον ὄντες κατὰ τὰ κτήνη. ἔτοι ἄρα κακῶς ἁρπάσαντες ᾗ τένομα τῆς φύσεως, ἀπεξένωσαν ὅλως, τῶν μεταφυσικῶν διόλε ἐκπεσόντες ᾗ θείων. ᾗ φιλοσοφεῖν θέλεσιν ἀφιλοσόφως, τῶν πρώτων ἀρχῶν ἐκπεσόντες.

ἙΡΜΟΚΡ'. Ἀληθῶς εἶπας· ἐπεὶ πολλοῖς τοιέτοις ὡμίλησα, κατ' αὐτὸν τὸν τρόπον περὶ φύσεως διαλεγομένοις· οἵτινες τῷ ὄντι ἔτε φιλόσοφοι ἔτε φυσικοί εἰσιν· ἀλλὰ τέτες ἐάσωμεν· ἐπανέλθωμεν δὲ ἐπὶ τὰ πρότερα· ἐπειδὴ ἂν οἱ ἀληθινοὶ χριςιανοὶ ὑπεροχικοί εἰσι τῇ γνώσει, ᾗ ἔτως ὀφείλεσιν ὑπερέχειν, διατὶ μὴ πάντες περὶ τὴν γνῶσιν διαφερόντως ἐπασχολεῦνται;

ἈΡΙΣΤΟ'Β. Οἱ πάντες ἐπασχολεῦνται·

ἙΡΜΟΚΡ'. Παράδοξον· Ἀλλὰ πῶς;

ἈΡΙΣΤΟ'Β. Ἡ γνῶσις ἐςι τριπλῆ, κατὰ τὴν τριπλῆν σχέσιν, ἣν ἕκαςος ἔχει· κατὰ σχέσιν, ἣν ἔχει ἕκαςος πρὸς τὴν αἰτίαν τῶν πάντων, κτίσμα ὂν πρὸς τὸν αὐτε δημιεργόν· κατὰ σχέσιν, ἣν ἔχει αὐτὸς πρὸς τὰ ἑαυτε· κατὰ σχέσιν, ἣν ἔχει πρὸς τὰ ὅμοια αὐτῷ, ᾗ τὰ ἐκτός· κατὰ ταύτην

ὖν τὴν τριπλῆν γνῶσιν, λίαν σπυδάζει, ϗ ἀκριβὴς ἐςιν ἕκαςος τῶν ἀληθῶν χριςιανῶν, γινώσκων τὰ δέοντα, ϗ ποιῶν τὰ καθήκοντα· κατὰ δὲ τὴν γνῶσιν, ὡς ἔχει τὰ ἕτερα φύσει ὄντα καθ᾽ αὑτὰ ϗ πρὸς ἄλληλα, ἧττον φροντίζει· διὸ ϗ ὐ πάντες περὶ τύτων ἁπλῶς ἐπιςήμονες· ὅτι ἡ μὲν πρώτη γνῶσις ἀναγκαιοτάτη ἑκάςῳ, ἡ δὲ δευτέρα τισὶ χρήσιμος.

ΕʹΡΡΟΚΡʹ. Συνῆκα ὖν, ὡς πολλοὶ τῶν λεγομένων ἐπιςημόνων, ἀμελῦντες τῶν ἀναγκαίων μαθήσεων, κατατρίβονται περὶ τὴν γνῶσιν τῶν μὴ ἀναγκαίων. κατενόησα δὲ ϗ ὡς θαυμαςὴ ἄρα ἡ τῆς ἐκκλησίας διδασκαλία ἐπὶ ταῦτα ἡμᾶς τὰ ἁπλῶς ἀναγκαῖα ἀεὶ ἐκπαιδεύυσα· ϗ πολλὰ ἔμαθον ἐκ ταύτης τῆς ὠφελίμυ ὁμιλίας, ἅπερ πρότερον ἠγνόυν. συντίθημι ὖν ϗ συνομολογῶ, ὅτι ὁ ἀληθὴς χριςιανὸς ἐςὶν ὁ μόνος σοφὸς ϗ φιλόσοφος.